did-you-come to the-dead and the-hollow and gates of-Hades neither
τοῦ ἐπικεκλωσμένου σοι νήματος ἐκκοπέντος, μήτε τοῦ
the spun-for you thread having-been-cut nor —
Χάρωνος ὧδε καλέσαντος;"
Charon here having-called(-you)
Τρίτον βουλήν μοι βουλεύεται γενναίαν καὶ μάλα
third counsel to-me he-counsels noble and very
λυσιτελοῦσαν, ἣν Ἀθηναίαν ἢ Σολομοντιαίαν τις εἰπὼν
profitable which Athenian or Solomonic one having-called

οὐκ ἂν ἁμάρτοι, „Ἄπελθε,“ λέγων, „φίλτατε, ἄνω ἐς τὸν
not — would-err go-away saying dearest up to the
βίον· οὐδὲ γὰρ ἔχει τις ὧδε σοῦ χρείαν, πένητός τε
life not for has anyone here of-you need poor both
ὄντος καὶ ἀδόξου, ἀλλὰ καὶ παρειμένου, καὶ πρός γε
being and obscure but also paralyzed and besides —
ἔτι μὴ παρασχόντος σου τοὺς δύ' ὀβολοὺς τῷ πορθμεῖ,
still not having-paid you the two obols to-the ferryman
κατὰ τὸν ἄνωθεν εἰς τοῦτο θεσμὸν ἐπικρατήσαντα.
according-to the from-of-old for this ordinance having-prevailed
Ἦ σὺ οἴει παῤῥησίαν ἐνταῦθ' ἔχειν τοὺς κατὰ σὲ
truly you think free-speech here to-have the(-ones) like you
βεβορβορωμένους καὶ πένητας; Ὅτε δὲ γενήσῃ, κατὰ τὸν
befouled and poor when but you-become according-to the
κωμικὸν, ὅμοιος Χρεμύλῳ, τότε σε καὶ ἄκοντα λήψονται,
comic(-poet) like Chremylus then you even unwilling they-will-take
καὶ παῤῥησίαν ἐνταῦθ' ἕξεις. Τό γε γοῦν νῦν ἔχον
and free-speech here you-will-have the — at-any-rate now being
ἐς Μῶραν ἄπελθε πανοικὶ, καὶ τὴν γαστέρα κρεῶν
to the-Morea go with-all-your-household and the belly with-meats
τε καὶ ἐλαῶν, ἀλφίτων τε καὶ νέκταρος, πρὸς δὲ καὶ
both and olives barley both and nectar besides and also
κωλῆς καὶ παναθηναϊκοῦ ζωμοῦ πλῆσον· τιμηθήσῃ γὰρ
ham and Panathenaic broth fill you-will-be-honored for
ἐκεῖσε ῥᾳδίως ὑπὸ τῶν τὴν Πέλοπος οἰκούντων,
there easily by the(-ones) the(-land) of-Pelops inhabiting
καὶ δοξασθήσῃ μάλα εἰκότως· ἀφ' ὧν καὶ ἀργύριον
and you-will-be-glorified very fittingly from which also silver
ἱκανὸν ὑποκτήσειας ἄν. Εἶτα, μετὰ τῶν ἄλλων τῶν ἐκεῖσε
much you-might-acquire — then with the other the there
εὐδαιμονιῶν, συμβαλεὶς καὶ συνετωτάτῳ καὶ βαθυγνώμονι
blessings having-met also a-most-sagacious and deep-minded

ἀνδρὶ, ὁμωνύμως κεκλημένῳ Εὐδαίμονι, καρτερῷ δὲ ὄντι
man aptly called Eudaimon strong and being
καὶ πολυόλβῳ πολλῶν δὲ ἄρχοντι πραγμάτων καὶ τὰ
and very-rich many and ruling affairs and the
μέγιστα δυναμένῳ, τῶν ὅσα συναναστρεφομένων ἐν
greatest(-power) having of-the(-ones) as-many-as associating in
τοῖς τοῦ πορφυροβλάστου βασιλείοις οὐδείς. Τοῦτον τοίνυν
the of-the porphyrogenite palace no-one(-so) him then
τὸν γενναιότατον εὑρὼν, προσκολλήθητι, καὶ τὰς αὐτοῦ
the noblest having-found cling and the his
προσταγὰς ὡς αὐτοκράτορος ποίει, ὡς ἂν καὶ σαυτὸν καὶ
commands as an-emperor's do so-that — both yourself and
τοὺς μετὰ σοῦ πολλῶν ἀγαθῶν ἐμπλήσῃς. Τούτῳ μήποτε
the(-ones) with you with-many goods you-may-fill to-him never
ὀκνήσῃς εἰπεῖν τόνδε τὸν μῦθον, ὡς οὐ πολὺς ἔσοιτο χρόνος
hesitate to-tell this the word that not long would-be time
τοῦ γενέσθαι τοῦτον εὐδαιμονέστερόν τε καὶ βελτίω, καὶ
before-the to-become him more-fortunate both and better and
ἐνδοξότερον πάντων τῶν ἐκεῖσε ἐνοικούντων. Καὶ ταῦτα
more-glorious than-all the(-ones) there dwelling and these-things
μὲν αὐτῷ φράσον κρύφα· σὺ δ' ὅταν τούτων πάντων,
indeed to-him tell secretly you and when with-these all
καὶ ἑτέρων μειζόνων ἐμπλησθείης, ὡς ἔφθην εἰπὼν, καὶ
and other greater may-be-filled as I-have-already said and
πλουτήσῃς, τότε ῥᾳδίως ἥξεις εἰς ᾅδου καὶ φανερῶς, οὐ
may-grow-rich then easily will-come to Hades and openly not
μὴν δὲ κρύφα καὶ ἁρπακτικῶς ὥσπερ νῦν, μετὰ πομπῆς
indeed — secretly and by-snatching as now with procession
θαυμαστῆς καὶ δόξης ὅτι πολλῆς. Τότε δὴ τότε καὶ
wondrous and glory as-much as-possible then indeed then both
φίλοι καὶ ἀγχιστεῖς, ἀλλὰ δὴ καὶ ἰατροὶ, ὅτε σε νοσοῦντα
friends and kinsmen but indeed also physicians when you sick

ἀκούσωσιν, ἐλεύσονται αὐτεπάγγελτοι, ὁμοίως δὲ γυνή τε
they-hear will-come unbidden likewise and wife both
καὶ παῖδες, καὶ οἰκέται, καὶ πάντες σχεδὸν, κλαύσονταί τε
and children and servants and all nearly will-weep both
καὶ ὀδυροῦνται τὴν σὴν ἐκδημίαν. Τότε τοίνυν οὐ πολλοῦ
and will-lament the your departure then therefore not much
πόνου καὶ κόπου σοι χρεία γενήσεται πρὸς τὴν εἰς ᾅδου
toil and labor for-you need will-be for the to Hades
πορείαν· ἀλλ', ἐπειδήπερ ἐν τῇ Λακωνικῇ τὸ Ταίναρον,
journey but since in the Laconian(-land) — Taenarum
ὥς φασιν, ὂν τυγχάνει, τὸ δέ ἐστι πλησίον ᾅδου, ἐξ
as they-say being happens it and is near Hades from
οὗπερ πάντες, ὡς λέγουσιν, οἱ τεθνηξόμενοι ἀνάγονται
which all as they-say the(-ones) going-to-die are-led-up
μὲν ἐκ βίου, ἐς ᾅδου δὲ κατάγονται, παράσχειας ἂν καὶ
indeed from life to Hades and are-led-down would-pay — also
σὺ τότε δύ' ὀβολοὺς τῷ πορθμεῖ, καὶ ἐς μόρον ῥᾳδίως
you then two obols to-the ferryman and to doom easily
καὶ ἀπονητὶ ἀπὸ Μώρας χαίρων καὶ εὐφραινόμενος ἥξεις,
and without-toil from the-Morea rejoicing and making-merry will-come
ἐπειδήπερ καθ' Ὅμηρον, μόρον σε ἀμήχανον, κἂν ἐν
since according-to Homer doom you inescapable even-if in
οἰκίσκῳ σαυτὸν καθείρξῃς, οὐχ ὑπαλύξαις."
a-cell yourself you-shut-up not you-would-escape
Ἦν δ' ἐγὼ πρὸς αὐτὸν, χαίρων καὶ ἐκθαμβούμενος, 3
said and I to him rejoicing and amazed
τοῦτο μὲν ἐν τῷ ξυμβουλεύειν οὕτω καὶ προαγγέλλειν
on-the-one-hand indeed at the to-counsel thus and to-foretell
μοι καινά τινα καὶ παράδοξα, τοῦτο δ' ἐν τῷ
to-me new some(-things) and strange on-the-other and at the
λέγειν αὖθις ἀναβιῶναι, καὶ δίς με ἀποθανεῖν· „Ἆρ' ὁ
to-say again to-come-back-to-life and twice me to-die — the

καλὸς κἀγαθὸς ἐκεῖνος ἦσθα Ὁλόβολος, ὁ τοῦ μεγάλου
fine and-good that were-you Holobolos the of-the great
μὲν καὶ γενναιοτάτου αὐτοκράτορος ἄριστος γραμματεὺς,
indeed and most-noble emperor best secretary
ἐμὸς δὲ ἑταῖρος ὡς οὐχ ἕτερος, ὁ τῆς Κωνσταντίνου
my and comrade as no other the of-the(-city) of-Constantine
μὲν ῥήτωρ δεινὸς, τῶν δ' ἰατρῶν ὁ βέλτιστος, ὃν
indeed orator clever of-the and physicians the best whom
ὁ μυρταῖτης ἐκεῖνος Ἀνδρόνικος φοιβάζων ἔλεγεν, Ἦ
the myrtle-seller that Andronikos prophesying said truly
μέλλεις γενέσθαι λογοθέτης;"
are-you-going to-become logothete
Καὶ ὃς, γοργὸν κατανεύσας, ἔφησε, „Ναί."
and he quickly having-nodded said yes
Κἀγὼ αὖθις ἠρόμην αὐτόν· „Πῶς, ὦ τᾶν, τοιοῦτος
and-I again asked him how O good-sir such
γέγονας; καὶ πῶς οὕτω γυμνὸς καὶ κατάστικτος τυγχάνεις
have-you-become and how so naked and spotted do-you-happen
διατελῶν; ποῦ δὲ εἰσὶν αἱ λαμπραὶ καὶ σηρικαὶ καὶ
to-be-living where and are the bright and silken and
λευκαὶ ἐσθῆτες ἐκεῖναι, ἃς σοι μέγας βασιλεὺς ἔναγχος
white robes those which to-you the-great emperor lately
ἐδωρήσατο, μεθ' ὧν ἐῴκεις βαδίζων υἱῷ κοιαίστωρος;"
gave with which you-looked-like walking the-son of-a-quaestor
Ἐπὶ τούτοις ἐκεῖνος, κινήσας τὴν κεφαλὴν, καὶ βύθιον
at these he having-shaken the head and deep
στενάξας, κἀπὶ τῇ μνήμῃ τῶν ἀπολαύσεων δακὼν
having-groaned and-at the memory of-the enjoyments having-bitten
τὸ χεῖλος, πηγὰς ἠφίει δακρύων, εἶτά μου τῆς χειρὸς
the lip springs let-go of-tears then my the hand
λαβόμενος, ἄγει με ἀποτέρω, καὶ δάφνῃ συνηρεφεῖ ἡμῶν
having-taken leads me further-off and under-a-laurel shady we

ἐπικαθισάντων, ἐμοῦ μὲν κεκμηκότος ἐκ τῆς ὁδοιπορίας,
having-sat-down I indeed being-weary from the journey
ἐκείνου δὲ καὶ πνευστιῶντος τῇ τοῦ δρόμου συντονίᾳ
he and also panting from-the of-the run intensity
ὃν ἔδραμεν ἄρτι, καὶ δειλιῶντος μήπω γέ τις αὐτὸν
which he-had-run just-now and fearing lest — someone him
θεάσηται, ἤρξατο πρῶτον ἀδακρυτὶ τὰ κατ᾽ αὐτὸν ἐν
may-see began first tearlessly the(-things) about himself in
κεφαλαίῳ διηγεῖσθαι· ὅπως δὲ ἐφενακίσθη ὑπὸ τοῦ τῶν
summary to-relate how and he-was-cheated by the(-one) of-the
εὐγενῶν (ἦν δὲ ὁ ἐξαπατήσας Τζαμπλάκων ἐκεῖνος
nobles was and the(-one) having-deceived(-him) Tzamplakon that
ὁ καβαλλάριος), καὶ ὅπως ἐς τὴν παλαιὰν ἄτην ἧκε
the knight and how into the old ruin came
φέρων ὡς γραμματέα, ἐπὶ κακῇ μοίρᾳ, ὡς ἔλεγε, τῶν
bringing(-himself) as secretary to evil fate as he-said of-the
ἀσθενῶν (εἰ γὰρ ἐτύγχανεν ἰατρεύων ἐκεῖνος, πολλοὺς
sick if for he-had-happened healing he many
ἂν ἐκ θανάτου ἐῤῥύσατο· νῦν δ᾽ ἔνιοι τῶν ἰατρῶν
— from death would-have-saved now but some of-the physicians
μήτε γράμματα εἰδότες Ἑλληνικὰ μήτε τὰ Γαληνοῦ
neither letters knowing Greek nor the(-works) of-Galen
μήτε μὴν Ἱπποκράτους νοοῦντες, ἀπερισκέπτως ἰατρείας
nor indeed of-Hippocrates understanding carelessly treatments
ποιοῦσι, καὶ πολλὰς ἰφθίμους ψυχὰς, καθ᾽ Ὅμηρον,
make and many mighty souls according-to Homer
προϊάπτουσιν ἀσθενῶν ἄϊδι)· ὅπως τε ἐδέξατο τοῦτον
send-forth of-the-sick to-Hades how both received him
ἀσμένως ὁ θειότατος βασιλεὺς, καὶ ὅπως τετίμηκε
gladly the most-divine emperor and how he-has-honored(-him)
παρ᾽ ἀξίαν, ἥτις κακίας αὐτῷ γέγονεν ἀφορμή· καὶ τὴν
beyond desert which of-vice to-him has-become occasion and the

τῆς ἰατρικῆς κατέλιπε τέχνην, καὶ ἐς παλαιὰν διατρίβων
of-the medical he-abandoned art and in old spending-time
ἐτύγχανεν ἄτην (ἐχρήσατο γὰρ αὐτῷ ὁ κρατῶν ἐκ τοῦ
he-happened ruin used for him the ruler from the
παραυτίκα, ὥσπερ εἰώθει τοῖς νεωστὶ ἀφικνουμένοις
outset as he-was-wont the newly arriving
νεήλυσι χρῆσθαι, καὶ ὡς ἀκέστορι ἐμπείρῳ καὶ ὡς ῥήτορι
newcomers to-use both as a-healer skilled and as an-orator
δεινῷ, καὶ ὡς ἀνδρὶ ἀγαθῷ, καὶ ὡς εὐφυεῖ καὶ περιέργῳ
clever and as a-man good and as a-gifted and diligent
ὑπογραμματεῖ Παδιάτου ἐκείνου τοῦ καταπύστου τε καὶ
under-secretary of-Padiates that the despicable both and
φληνάφους)· ὅπως πεπλούτηκεν ἐξαπίνης, ἀφ' ὧν γέγραφε
babbling how he-has-grown-rich suddenly from what he-has-written
θείων τε καὶ σεπτῶν χρυσοβούλλων καὶ προσταγμάτων·
divine both and august chrysobulls and ordinances
ὅπως τε ἠγαπᾶτο καὶ ἐτιμᾶτο, δι' ἣν εἶχε τοῦ
how both he-was-loved and honored because-of which he-had of-the
βασιλέως εὔνοιαν, καὶ παρὰ τῶν εὐπατριδῶν, καὶ τῶν εὖ
emperor goodwill both by the well-born and the(-ones) well
φρονούντων, καὶ τῶν γένει προσηκόντων τῷ βασιλεῖ,
thinking and the(-ones) by-birth related to-the emperor
ἀλλὰ δὴ καὶ τῶν ἐν τέλει, καὶ ἁπλῶς παρὰ πάντων·
but indeed also the(-ones) in office and simply by all
ὅπως ἀνῳκοδόμησεν οἰκίας λαμπρὰς καὶ περικαλλεῖς, καὶ
how he-built-up houses splendid and very-beautiful and
ὅπως ἀφῆκε ταύτας ἡμιτελεῖς ἔκ τινος συμβάματος· ὅπως
how he-left them half-finished from some mishap how
κατὰ σμικρὸν χωρήσας τοῖς τοῦ βασιλέως μυστηρίοις,
by little having-advanced into-the of-the emperor secrets
ἐφαίνετο μὲν ὅμοιος τοῖς ἔνδον συναναστρεφομένοις,
he-appeared indeed like to-the(-ones) inside associating

νύκτωρ δὲ καὶ μεθ᾽ ἡμέραν τῷ αὐτοκράτορι συνὼν καὶ
by-night but and by day with-the emperor being and
διαλεγόμενος, κατέπλευσεν ἐς Βρεττανίαν τε καὶ Γαλλίαν
conversing sailed to Britain both and Gaul
καὶ μέχρις ὠκεανοῦ μετ᾽ αὐτοῦ· ὅπως διὰ ταῦτα μὲν
and as-far-as the-ocean with him how because-of these-things indeed
γέγονεν, ὡς ἔλεγεν ὁ τοιοῦτος, ἐπέραστος, ὁ δὲ χρηστὸς
he-became as said the such(-man) lovable the but good
Παδιάτης ἐκεῖνος κατὰ σμικρὸν βδελυγμίας καὶ ἄχρηστος·
Padiates that by little abomination and useless
ὅπως τε ἦν μόνος κύριος τοῦ ἀκοῦσαι καὶ γράψαι
how both he-was sole master of-the to-hear and to-write
ῥητῶν τινων καὶ ἀπορρήτων· ὅπως τε ἅμα γέγονε
things-sayable some and unsayable how both at-once he-became
γραμματεὺς καὶ βουλευτὴς, καὶ διακομιστὴς μυστηρίων, καὶ
secretary and councilor and bearer of-secrets and
ὑπομνημάτων ἐξαγγελεύς· ὅπως τε μικρὸν ὕστερον ἤλπιζεν,
of-memoranda announcer how both a-little later he-hoped
εἴπερ οὐκ εἶχεν ἀντίτεχνον τὸν τὴν κλεῖν κατεαγότα
if not he-had rival the(-one) the collarbone having-broken
Φιλομμάταιον, ἐς τὸ τοῦ μεγάλου λογοθέτου γέρας ἥξειν.
Philommataios to the of-the great logothete office to-come

Holobolos confides that four misfortunes brought him to Hades before his time, and explains that its judges try each soul justly, without witnesses or bribes. The four: besotted with a nun, he neglected his duties, and the emperor made Philommataios his rival; a hypocrite among the court's 'saints' wheedled himself into guardianship of all he had; his nephew Kakoalexios looted his house as he lay sick; and the emperor took his chrysobulls and records, which he wishes he had burned so the rival could not master the trade. Mazaris replies that the rival can learn it as he did, from Padiates.

4 Ἔπειθ' ὡς ἐν μυστηρίῳ καὶ πρὸς οὖς ἔφασκε μὲν, οὐκ
then as in secret and at ear he-said indeed not
ἀδακρυτὶ δὲ οὐδ' ἀστενακτὶ ταῦτα· „Ὁρᾷς, ὦ φίλων
tearlessly but nor without-groaning these-things you-see O of-friends
ἄριστε, οἷος ἀνθ' οἵου γέγονα, καὶ οἷος ἐν ᾅδου
best what-sort in-place-of what-sort I-have-become and what-sort in Hades
βαδίζω, καὶ ἡλίκος νῦν φαίνομαι." — Ἦν δ' ἐγὼ πρὸς
I-walk and how-small now I-appear said and I to
αὐτὸν στενάξας· „Ὁρῶ."
him having-groaned I-see
Καὶ ὃς ἀρξάμενος διηγήσατο οὑτωσί πως εἰπών·
and he having-begun related thus somehow having-said
„Ἐγὼ μὲν, ὦ βέλτιστε Μάζαρι, ὡς ἐν ἐξομολογήσει
I indeed O best Mazaris as in confession
καὶ θαῤῥούντως ταῦτά σοι διηγήσομαι· σὺ δ' ἀκούσας
and confidently these-things to-you will-relate you and having-heard
φύλαξον καὶ ἔχε παρὰ σαυτῷ." Κἀγὼ εἶπον·
guard(-them) and keep(-them) with yourself and-I said
„Ὁμοιοπαθεῖ ἀνθρώπῳ ἐρεῖς, καὶ πολλὰ εἰδότι
to-a-fellow-sufferer man you-will-speak and many knowing
μυστήρια, ξεῖνε· καὶ ὥσπερ τἀμὰ καὶ ταυτὶ φυλάξω."
secrets stranger and as my-own also these I-will-guard

Καὶ ὃς ἀρξάμενος ἔλεγεν· „Ἔγωγε εἴπερ ἔμελλον φεῦ!
and he having-begun said I when I-was-about alas
ζωὴν ἐν τῷ βίῳ ζῆσαι πλείω τε καὶ βελτίω τῆς ἥσπερ
a-life in the world to-live longer both and better than-the which
βεβίωκα ὁ ταλάντατος, πλοῦτόν τε πλεῖστον πλουτῆσαι
I-have-lived the most-wretched wealth both very-great to-be-rich-in
καὶ τῶν εὐπατριδῶν μίαν γῆμαι, καὶ τὰς οἰκίας λαμπρὰς
and of-the well-born one to-marry and the houses splendid
καὶ περικαλλεῖς ἐκτελέσαι, τέτταρά μοι ὁμοίως δεινὰ
and very-beautiful to-finish four on-me alike terrors
ἐν ἑνὶ καιρῷ καὶ ἐκ τοῦ παραυτίκα ἐπέθετο, ἅπερ μοι
at one time and from the instant fell which for-me
νόσον βαρεῖάν τε καὶ δεινοτάτην κατειργάσατο· καὶ, ὡς
a-disease heavy both and most-terrible wrought and as
ὁρᾷς, ἐν ἅδου ταυτὶ ἀώρως με προύπεμψε.“
you-see in Hades these-things untimely me sent-ahead
Τοὺς κρουνοὺς οὖν καὶ αὐτὸς τῶν ἐμῶν δακρύων ἀπ’
the streams then also myself of-the my tears from
ὀφθαλμῶν ἐκμάσας, πρὸς αὐτὸν εἶπον· „Μὴ ὤφελες,
eyes having-wiped to him I-said not would-that-you-had
δύστην’ Ὀλόβολε, πρώτως μοι ξυναντῆσαι, μηδὲ τοιαῦτα
wretched Holobolos first me to-meet nor such-things
πρὸς ἐμὲ λέξαι, μηδὲ τὰ σὰ οὕτως ἐπιδεῖξαι, ὥσπερ
to me to-say nor the your(-affairs) so to-show as
ὀφθαλμοῖς μὲν εἶδον, ὠσὶ δ’ ἀκήκοα· τὴν γὰρ ἐν
with-eyes indeed I-saw with-ears and I-have-heard the for in
ἅδου διατριβὴν ᾤμην δεῖν εἶναι βελτιωτέραν τε
Hades sojourn I-thought to-be-needful to-be better both
καὶ ἀπονωτέραν τοῦ οὗπερ ἐξῆλθον δυστήνου βίου,
and easier than-the which I-left wretched life
καὶ χαίρων ἠκολούθουν ἐκείνῳ, τῷ ἀωρὶ νυκτῶν
and rejoicing I-followed him the(-one) untimely of-nights

ἡρπακότι. Ἐπειδὴ δὲ καὶ τὰ ἐν ᾅδου οὕτως ἔχει,
having-snatched(-me) since but also the(-things) in Hades so are
ὥσπερ καὶ τὰ ἐν βίῳ, σὺ δὲ πολλὰ καὶ μεγάλα
as also the(-things) in life you and many and great
δεινὰ πέπονθας ὡς διεξέρχῃ, παλινδρομῆσαι βούλομαι
terrors have-suffered as you-relate to-run-back I-wish
ἐς τὸν βίον· βέλτιον γὰρ ἐκεῖσε διατρίβειν ἀτίμως
to the life better(-it-is) for there to-live without-honor
οὕτω καὶ δυστυχῶς, ἢ γενέσθαι με τοιοῦτον ὁποῖος
so and unhappily than to-become me such as
σύ μοι φαίνῃ νῦν. Πλὴν, δέομαι δή σου, ἐπειδή μοι
you to-me appear now but I-beg indeed you since to-me
ξυμβουλεύῃ τὰ λυσιτελοῦντα, καὶ ἐς Μῶραν, ἤτοι γε
you-counsel the(-things) profitable and to the-Morea or —
εἰς Πελοπόννησον, φοιβάζων ὥσπερ Ἀπόλλων ἐκ δάφνης,
to the-Peloponnese prophesying like Apollo from laurel
λέγεις μοι ἀπελθεῖν, φράσον μοι τὰ τέτταρα ἐκεῖνα
you-tell me to-go tell me the four those(-things)
οἷα ἐστὶ, τὰ τὴν ἐν ᾅδου σοι πορείαν οὕτω
what-sort are the(-ones) the in Hades for-you journey so
προξενήσαντα· δι' ἐφέσεως γὰρ ἔχω τούτων ἀκοῦσαι."
having-procured with desire for I-am-disposed of-them to-hear
Καὶ ὃς στενάξας αὖθις, „Νὴ τὸν Κέρβερον," εἶπε, „τὸν
and he having-groaned again by — Cerberus he-said the
κύνα, ὦ κατάρατε ἐπιθέτα, δῆλά σοι βούλομαι ἥκιστα
dog O accursed impostor plain to-you I-wish least
ταυτὶ ποιῆσαι, δύο κακῶν ἕνεκα, ὧν ἕτερον μείζω
these-things to-make two evils for-the-sake-of of-which either greater
μοι προξενήσειεν ἂν ζημίαν."
for-me would-procure — loss

„Καὶ τίνα ζημίαν ἢ βλάβην,“ ἔφην ἐγὼ, „μέλλουσι
and what loss or harm I-said I are-going
προξενήσειν ταυτὶ, νεκρῷ γε ὄντι καὶ διατρίβοντι ἐν
to-procure these-things for-a-dead-man — being and spending-time in
ᾅδου; ποίαν,“ ἦν δ’ ἐγὼ πρὸς αὐτὸν, „συνιδεῖν οὐκ ἔχω.“
Hades what-sort said and I to him to-see not I-can
— „Σὺ,“ ἔφη, „ἀγνοεῖς, ἠλίθιε, πάντων μάλιστα γινώσκειν
you he-said are-ignorant fool of-all most to-know
οἰόμενος.“
thinking
„Οὐκ ἐρεῖς,“ εἶπον αὐτῷ, „ταύτην ἐμὲ τὸν φιλοῦντα
not will-you-tell I-said to-him it me the(-one) loving
τὰ σὰ πλέον τῶν ἄλλων; ἀλλὰ κρύπτεις;“
the(-things) yours more than-the others but you-hide(-it)
— „Οὐκ οἶσθα,“ ἔφη, „ὡς εἴπερ ἐκ συναρπαγῆς
not do-you-know he-said that if from rashness
κοινώσεις πρὸς τοὺς σοὺς καὶ ἐμοὺς ἑταίρους ταυτὶ
you-will-share with the your and my companions these-things
συνταραχθήσονται, καὶ ἐπαράσονταί με οἱ τὰ
they-will-be-thrown-into-confusion and will-curse me the(-ones) the
δεινὰ δράσαντες;“
dreadful-things having-done
„Μὴ φοβοῦ, ὦ ’γαθὲ,“ εἶπον· „ἐγὼ γὰρ οὕτω παρ’ ἐμοὶ
not fear O good-man I-said I for so with myself
φυλάξω τὰ εἰρημένα, ὥσπερ αὐτὸς σὺ ταυτὶ ἐφύλαττες
will-keep the(-things) spoken as yourself you these-things were-keeping
ἕως νῦν. Ὅρα μόνον, μὴ κέκρυπταί τις ἐν ταῖς μυρρίναις,
until now see only lest is-hidden someone in the myrtles
καὶ τῶν λεγομένων ἀκούῃ· ὁρῶ γὰρ αὐτὰς σειομένας.“
and of-the(-things) said hears I-see for them shaking

— „Θάῤῥει,“ ἔφη· „οὐ γάρ τις ἐκ τῆς πληθύος ἐκείνης
take-heart he-said not for anyone from the multitude that
ἐξῆλθεν, ἄνευ ἐμοῦ. Πλὴν ἄκουε δή μου καὶ τοῦ
came-out except me but hear now from-me also than-the
προτέρου δεινότερον δεύτερον. Ἔγωγε, ὦ ἑταῖρε, τὸν
first more-terrible a-second I O comrade the
μέγαν Πλούτωνα καὶ τὴν Περσεφόνην παπαὶ! δέδοικα· ὡς,
great Pluto and — Persephone alas fear lest
εἴπερ αἴσθονταί με διὰ τέτταρ᾽ ἄττα λυπούμενον, ἀντὶ
if they-perceive me because-of four things grieving instead-of
δεινοτάτης καὶ μεγάλης κολάσεως, τὸ τῆς λήθης μοι ὕδωρ
most-terrible and great punishment the of-the forgetfulness to-me water
πιεῖν οὐμενοῦν δώσουσιν, ὅπερ μοι ἐς ἡμερῶν τριακάδα
to-drink by-no-means they-will-give which to-me in of-days thirty
δώσειν γε ἐπηγγείλαντο, ὡς ἂν ἀμνημονήσω πάντων, ὧν
to-give — they-promised so-that — I-may-forget all which
ἐν βίῳ χρηστῶν ἀπήλαυσα· ἡ γὰρ τούτων μνήμη τὸ μὲν
in life good-things I-enjoyed the for of-these memory the indeed
σῶμα κατατρυχει, δίκην δὲ σκώληκος ἰοβόλου νύκτωρ καὶ
body wears-out like and a-worm venomous by-night and
μεθ᾽ ἡμέραν τὴν ψυχὴν δάκνει τὸν μὴ τοιούτου ὕδατος
by day the soul bites of-the(-one) not such water
μετασχόντα. Καὶ γὰρ βασανιστήριόν ἐστι χαλεπὸν ἡ τῶν
having-partaken and for a-torture is grievous the of-the
ἀπολαύσεων μνήμη, καὶ ἄῤῥητός τις ὀδύνη, καὶ δίκη
enjoyments memory and unspeakable a pain and a-penalty
δίκης ἁπάσης καὶ τιμωρίας πικροτέρα, οὐ πλευρὰς
than-penalty every and punishment more-bitter not sides
καταξαίνουσα μόνον, ἀλλὰ καὶ ψυχῆς δύναμιν λυμαινομένη.
tearing only but also of-soul power ruining

Ἦ σύγε οὕτως οἴει δικάζειν καὶ τοὺς ἐν ᾅδου δικαστὰς,
truly you so think to-judge also the in Hades judges
ὥσπερ καὶ οἱ ἐν βίῳ διατελοῦντες δικάζουσιν;“
as also the(-ones) in life living judge
„Ἀλλὰ πῶς ἄρ',“ εἶπον, „οἱ ἐν ᾅδου δικάζουσι;“
but how then I-said the(-ones) in Hades judge
— „Δικαίως,“ ἔφη, „καὶ ἀπροσωπολήπτως, ἔτι δὲ
justly he-said and impartially further and
ἀδωροδοκήτως, καὶ μὴ πρὸς χάριν, ἀλλ' οὐδὲ πρὸς
incorruptibly and not for favor but nor for
κολακείαν, οὐδ' εἵνεκα λημμάτων· οὐδὲ γὰρ δέονται
flattery nor for-the-sake of-gains not for need
μαρτύρων ἐκεῖνοι, οὐδὲ κατηγόρων, οὐδ' ἀποδείξεων, οὐδ'
witnesses they nor accusers nor proofs nor
ἐλέγχων, οὐδὲ συμβολαίων τινῶν· ἀλλὰ πάνθ' ὡς
cross-examinations nor contracts any but all-things as
ἐπράχθη, πρὸ ὀφθαλμῶν τῶν πεπλημμελημένων εἰς
were-done before the-eyes of-the(-ones) having-offended into
μέσον ἄγουσι. Τότε δὴ τότε οὐχ, ὑπὲρ ὧν ἠδίκησέ
the-open they-bring then indeed then not for what wronged
τις, κρίνεται ἕτερος, ἀλλ' ἕκαστος ὑπὲρ ἑαυτοῦ. Οἱ
one is-judged another but each for himself the(-ones)
δὲ ἐν βίῳ οὐχ οὕτω, ξεῖνε, ἀλλ' ἄλλως δικάζουσι.
but in life not so stranger but otherwise judge
Κρίνουσι μὲν γὰρ πρὸς χάριν, ἀλλὰ δὴ καὶ κολακείαν,
they-judge indeed for for favor but indeed also flattery
δωροδοκοῦνται δὲ παρ' ἑκατέρων τῶν δικαζομένων· τοῦ
they-take-bribes and from both the litigants the
γὰρ δικαίου ἀπολωλότος, τῶν μάλα ἰσχυόντων καὶ
for justice having-perished to-the(-ones) very powerful and

πλείω παρεχομένων, μᾶλλον δὲ τῶν μεγάλα δυναμένων.
more offering rather and the(-ones) greatly able
καὶ εὐρυβιῶν καὶ πλούτῳ βριθόντων, τὸ δίκαιον γίνεται.“
and mighty and with-wealth laden the right goes
Ἐκπλαγεὶς οὖν ἐπὶ τούτοις ἐγὼ, ἱκέτευον αὐτὸν φράσαι, καὶ
astounded then at these I begged him to-tell both
τὰ τέτταρα ἐκεῖνα ποῖα ἐστὶ, καὶ τοὺς ἐνταῦθα δικαστάς.
the four those what are and the here judges
Ὁ δὲ, κατιδών με τεθορυβημένον οὕτω καὶ τῇ ψυχῇ
he but having-seen me troubled so and in-the soul
μετέωρον ὄντα σφόδρα (ἑώρα γὰρ νῦν μὲν ἡδόμενον, νῦν
unsettled being greatly he-saw for now indeed pleased now
δ’ ἀνιώμενον ἐν ταὐτῷ), „Πῶς ζητεῖς τὰ τέτταρα,“
and distressed at the-same(-time) why do-you-seek the four
ἔφη, „ἐκεῖνα; καὶ πῶς ἥκιστ’ ἐπελάθου τούτων, ἀλλ’ ἐς
he-said those and how least have-you-forgotten them but for
ἀεὶ μὲν ἐμὲ διεγείρεις, πάντοτε δὲ τούτων μνείαν ἔχεις,
ever indeed me you-rouse always and of-them mention you-make
καὶ σχεδὸν ὅσαι ὧραι μέμνησαι καὶ πράγματά μοι
and nearly every hour you-remember(-them) and trouble me
παρέχεις; Καὶ πρὸς τούτοις ζητεῖς γε μαθεῖν καὶ τὰ τῶν
you-give and besides these you-seek — to-learn also the of-the
δικαστῶν ὀνόματα, δέον μαθεῖν σε ἐν βίῳ.“
judges names it-being-needful to-learn(-them) you in life
„Ταῦτ’ εἰπεῖν ἔναγχός μοι ὑπέσχου,“ πρὸς αὐτὸν ἔγωγε
these-things to-tell lately to-me you-promised to him I
ἔφην· „τίνι δὲ τρόπῳ παρυποκρύπτεις, ὦ καλὲ κἀγαθέ;“
said by-what and manner do-you-conceal O fine and-good
— „Οὐ κρύπτω,“ ἔφη, „ἀλλ’, ὡς ἔφθην εἰπὼν, δέδοικα
not I-conceal he-said but as I-have-already said I-fear
μὲν, πάντα δὲ τρόπον ποιῶ καὶ πράττω πρὸς τὸ συγχέαι
indeed every and way I-do and act for the to-confound

τὸν σὸν λογισμὸν, ὥστε μὴ ζητεῖν καὶ πολυπραγμονεῖν
the your reasoning so-as not to-seek and to-pry-into
ἐκεῖνα τὰ βλάβην οὐκ ὀλίγην μοι προξενήσοντα.“
those-things the(-ones) harm not little for-me going-to-procure
„Εἰπέ μοι,“ εἶπον ἐγὼ, „πρὸς θεοῦ, καὶ οὔτ’ αὐτὸς σὺ,
tell me I-said I by God and neither yourself you
συναιρομένης τῆς ἀληθείας, ὑποσταίης ἂν βλάβην, κἀμοὶ
helping the truth would-suffer — harm and-to-me
δ’ ὠφέλειαν οὐ σμικρὰν προξενήσαις.“
and benefit not small you-would-procure
Μόλις οὖν, ὅμως δ’ εἴξας, ἦ ἐκεῖνος, ἀνακαθίσας,
scarcely then but-yet and having-yielded said he having-sat-up
οὑτωσί πως εἰπὼν καὶ διηγησάμενος, πρῶτον μὲν
thus somehow having-spoken and having-related first indeed
τὰ δικαστῶν τῶν ἐν βίῳ ὀνόματα· ἄλλως γὰρ ἐν ᾅδου
the of-the-judges the in life names otherwise for in Hades
καλοῦσι τούτους· τὸν μὲν γὰρ λέγουσιν οἰνοφάγον, μὴ
they-call them the-one indeed for they-call wine-eater not
τῆς εἰρήνης υἱὸν, τὸν δὲ μόγων μεστὸν, τὸν δ’
of-the peace son the-other and of-toils full the-other and
ἄγκυραν ἀδικούντων, τὸν δὲ τέταρτον, σκαιῶν φύλακα·
anchor of-wrongdoers the and fourth of-the-clumsy guardian
ἔπειτα τὰ κατ’ αὐτὸν τέσσαρα· — „Τοῦ θειοτάτου
then the about himself four the most-divine
βασιλέως, ὦ ἐξεταστικώτατε, ἐξ Ἰταλίας καὶ Βρεττανίας
emperor O most-inquisitive from Italy and Britain
μετὰ τὴν τοῦ καταπτύστου ἐκείνου σατράπου κατάπτωσιν,
after the of-the despicable that satrap downfall
ἐν τῇ Κωνσταντίνου ἐπανήκοντος, οὐχ ἡσυχάζειν
into the(-city) of-Constantine having-returned not to-be-quiet
εἶα καὶ σωφρονεῖν ὁ τῆς ἀκολασίας οἶστρος, πρὸς τὸ
allowed and to-be-sober the of-the lust gadfly for the

μένειν με διηνεκῶς ταῖς βασιλικαῖς αὐλαῖς, τοῖς ἔνδον
to-remain me continually in-the imperial courts with-those inside
τε συναναστρεφομένοις συναναστρέφεσθαι, καὶ τὰς τοῦ
both associating to-associate and the of-the
κρατοῦντος προσταγὰς ἐκπληρεῖν ὡς τὸ πρότερον· ἀλλ᾽
ruler commands to-fulfill as the before but
ἀδίκοις θεασάμενος ὄμμασι μίαν τάχα τῶν μοναζουσῶν,
with-unjust having-beheld eyes one perhaps of-the nuns
διεσπεκλωμένην ὑπὸ μυρίων, ἀρχαίαν φίλην, τῷ ταύτης
spread-about by thousands an-old friend by-the her
καὶ αὖθις ἁλοὺς ἔρωτι, μᾶλλον δὲ καταγοητευθεὶς,
and again caught love rather but bewitched
νύκτωρ καὶ μεθ᾽ ἡμέραν τῷ ταύτης ἐγκαλινδούμην
by-night and by day in-the her I-wallowed
βεβορβορωμένῳ σώματι. Τοῦ δὲ γενναιοτάτου βασιλέως
befouled body the and most-noble emperor
ὅσαι ὧραι ζητοῦντος πρὸς τὸ γράφειν με τὰς αὐτοῦ
every hour seeking for the to-write me the his
προσταγὰς, ἐπείπερ οὐδαμῶς εὑρίσκομεν, ἀγανακτήσαντος,
commands since in-no-way we-find having-been-vexed
ἀντίτεχνόν μοι πεποίηκεν ἐξ ἀγγέλων πονηρῶν τὸν
a-rival to-me made from angels wicked the
διαληφθέντα Φιλομμάταιον. Ὅπως μὲν οὖν περὶ τούτου
aforementioned Philommataios how indeed then about this
λελύπημαι σφόδρα, καὶ ὅπως διηγώνισμαι, νῦν μὲν
I-have-grieved greatly and how I-have-struggled now indeed
διὰ μεσαζόντων, νῦν διὰ ἐναρέτων καὶ κατὰ θεὸν
through mediators now through virtuous and according-to God
βεβιωκότων, θειοτάτων καὶ γενναιοτάτων ἀνδρῶν, πρὸς
having-lived most-divine and most-noble men for
τὸ ἐξοστρακισθῆναι τὸν ἀντίτεχνον, οὐ χρεὼν, οἶμαι
the to-be-ostracized the rival not needful I-think

καταλέγειν ἕκαστα, τῆς ὥρας κατεπειγούσης, καὶ ἐμοῦ τὸν
to-list each the hour pressing and I the
τῆς διηγήσεως κόρον φεύγοντος. Πλὴν ἐν ἑνὶ διηγήσομαι
of-the narrative surfeit avoiding but in one I-will-relate
λόγῳ, ὡς ἡ τοῦ ἀντιτέχνου λύπη, καὶ ἡ διηνεκὴς ἀθυμία,
word that the of-the rival grief and the continual despondency
ἣ νύκτωρ καὶ μεθ' ἡμέραν εἶχον, ἐς τὸν τοῦ ἅδου χῶρον
which by-night and by day I-had to the — of-Hades region
ἀώρως, ὡς ὁρᾷς, προύπεμψεν· αὕτη μοι τῶν τεττάρων
untimely as you-see sent-ahead(-me) this to-me of-the four
πρώτη καὶ μία αἰτία, ξεῖνε. — Ἔπειθ' ὡς διέτριβον πρὸς
first and one cause stranger then while I-spent-time with
τοὺς διαβεβοημένους ἁγίους καὶ κατ' ἀντίφρασιν ξανθοὺς
the famous saints and by antiphrasis fair-haired
ὑπούλους, ἵνα με πρὸς τὸν κρατοῦντα καταστήσωσιν,
festering(-ones) so-that me with the ruler they-may-set
ἡλίκος ἦν πρότερον, ἄνευ ἀντιτέχνου (ὑπήκουε γὰρ
how-great I-was before without rival listened for
αὐτῶν ὁ κρατῶν, ὡς οὐδεὶς τῶν ἁπάντων), ἐφενακίσθην
to-them the ruler as no-one of-the all I-was-cheated
ὑπὸ τοῦ τούτων. Ἦν δὲ ὁ ἐξαπατήσας ἐκ γένους
by the(-one) of-them was and the(-one) having-deceived(-me) from a-race
ἀσπόνδου καὶ εὐσεβεῖν ἀναπεπεισμένου, ἢν πολλῶν βίους
implacable and to-be-pious persuaded if many lives
ἕλῃ. Θριδακίναις γὰρ καὶ ἰντυβίοις καὶ σέρισιν, ἀλλὰ
it-may-take with-lettuces for and chicory and endives but
δὴ καὶ θλασταῖς ἐλαίαις, ὁσημέραι με δεξιούμενος, καὶ
indeed also crushed olives daily me entertaining and
νῦν μὲν ὡς κροκόδειλος δακρύων, νῦν δ' ὡς χαμαιλέων
now indeed like a-crocodile weeping now and like a-chameleon
στενάζων, νῦν δ' ὡς Πρωτεὺς μᾶλλον, ἤπερ ὀκτάπους,
groaning now and like Proteus rather than an-octopus

προσφάτοις ὑποδεικνύων γε χρώμασιν, ἔτι γε μὴν τὸ
with-fresh showing — colors still — indeed the
τῶν ἁλιέων μιμησάμενος δέλεαρ, εἵλκυσέ με τὸν σκληρὸν
of-the fishermen having-imitated bait he-drew me the hard
καὶ ἄτεγκτον, καὶ μολύβδου, μᾶλλον δὲ κηροῦ, πεποίηκε
and unmoved and than-lead rather but than-wax made
μαλθακώτερον. Καὶ, τοῖς τούτου κατὰ σμικρὸν θελήμασιν
softer and to-the his by little wishes
εἴξας, πάντων ὧν εἶχον ἀφανῶν τε καὶ φανερῶν,
having-yielded of-all which I-had hidden both and open
ἐπίτροπον ἄγρυπνον ἐγγράφως πεποίηκα. Τούτων τὴν
guardian sleepless in-writing I-made(-him) of-these the
μνήμην οὐκ ἀδακρυτὶ, ξεῖνε, νῦν φέρω, ἀλλ' ὡς σκώληξ με
memory not tearlessly stranger now I-bear but like a-worm me
ἰοβόλος ὅσαι ὧραι τιτρώσκει. — Τρίτον, ὡς ἐθεάσατό με
venomous every hour wounds third when beheld me
βεβαπτισμένον ὁ βδελυγμίας καὶ λωποδύτης ἀδελφιδοῦς
steeped the abomination and thief nephew
Κακοαλέξιος ὑπὸ τοῦ ἐπεισεφρηκότος δεινοτάτου ἐκείνου
Kakoalexios by the having-burst-in most-terrible that
νοσήματος, χαλινοὺς, ἐφεστρίδας, βιβλία, ἄορας, λέβητας,
disease bridles cloaks books swords cauldrons
θώκους, ἐσθῆτας, τάπητας, ἄλλ' ἄττα σκεύη πολλὰ, μέχρι
seats garments carpets other some vessels many as-far-as
καὶ παττάλων, ἐντὸς ὑφείλετο εἰσελθὼν, πάντων ἐπ'
even pegs inside he-filched having-entered all over
ἐμὲ ἀσχολουμένων· ὃν εἰ λαβοίμην, τὴν ῥῖνα τούτου
me being-busy whom if I-should-catch the nose his
δακὼν ἐκτεμῶ, ὡς ἂν γνώριμον καὶ σεσημειωμένον
having-bitten I-will-cut-off so-that — known and marked
ἀποκαταστήσαιμι φῶρα καὶ τοῖς ἐν ᾅδου, ὥστε μὴ
I-might-render a-thief also to-the(-ones) in Hades so-as not

κλέπτειν τυμβωρυχοῦντα καὶ τὰς τῶν νεκύων σινδόνας.
to-steal robbing-tombs even the of-the dead shrouds
— Τέταρτον, ὡς ἀκήκοεν ὁ ἀήττητος αὐτοκράτωρ
fourth when heard the invincible emperor
παρὰ τῶν μιαιφόνων βροτολοιγῶν μηδαμῶς ἔχοντά με
from the bloodthirsty man-destroyers in-no-way having me
σωτηρίαν, τὸν Κακοαλέξιον ἀδελφιδοῦν δειλιάσας, ἵνα μὴ
safety — Kakoalexios nephew having-feared lest —
καὶ ἅπερ εἶχον χρυσόβουλλά τε καὶ προστάγματα θεῖα,
also what I-had chrysobulls both and ordinances divine
τὰ μὲν δι' ἐρυθρῶν ὑπογεγραμμένα γραμμάτων, τὰ
the(-ones) indeed with red signed letters the(-ones)
δ' ἄνευ, ἀλλὰ δὴ καὶ τὴν θέσιν, ἐν ᾗ τὰς ἁπάντων
and without but indeed also the register in which the of-all
εἰδήσεις εἶχον ἐντὸς γεγραμμένας, συλήσῃ, καθάπερ, ὡς
records I-had inside written he-may-plunder as as
ἔφθην εἰπών, σεσύληκε καὶ τἀμά, πέπομφε τὸν —
I-have-already said he-has-plundered also my-things he-sent the
οὐκ οἶδ' ὅπως καλέσαιμι· καὶ ταῦθ' Ἡράκλεις! ἔλαβεν
not I-know how I-might-call(-him) and these-things Heracles he-took
ἀνερυθριάστως, μετὰ σοβαρᾶς τινος διαλέξεώς τε καὶ
shamelessly with haughty some disputation both and
ἔριδος. Ὢ πῶς τὴν τούτων ἔφερον βίαν; πῶς δ' οὐ γέγονα
strife oh how the of-these I-bore violence how but not I-became
φρενήρης, ὦ φίλτατε; πῶς οὐκ εἰς πῦρ ἢ κρημνὸν φέρων
mad O dearest how not into fire or cliff bringing
ἐμαυτὸν ἔῤῥιψα; πῶς δ' οὐ μάχαιραν κατὰ σπλάγχνων
myself I-threw how but not a-knife into bowels
ἐμῶν ὦσα; Λυσιτελέστερον ἦν ἂν καὶ ταῦτα
my I-thrust more-profitable it-would-have-been — also these-things
συλῆσαι τὸν Κακοαλέξιον ἀδελφιδοῦν, ἢ τὴν τούτων
to-plunder — Kakoalexios nephew than the of-these

οὕτως ἀφαίρεσιν ὑποστῆναι. Εἴπερ οὖν, ὦ ’τᾶν, οὐκ
so taking-away to-undergo if then O good-sir not
ἀφείλετο οὕτως ἀναιδῶς τε καὶ ἰταμῶς ὁ ταῦτ’
had-taken-away so shamelessly both and recklessly the(-one) these-things
αἰτήσας καὶ λαβὼν, ἅμ’ ἕῳ λάθρα, μὴ γινώσκοντός
having-asked and having-taken at-once at-dawn secretly not knowing
τινος, κατακαῦσαι ταῦτ’ ἐβουλόμην, ἤγουν τὸν πάντα
anyone to-burn these-things I-wished or the all
μοι ὑπακούοντα κλεπτίστατον κηδεστὴν ἐπέτρεπον
to-me obeying most-thievish in-law I-would-have-commissioned
ἂν, ὥστε, μὴ γινώσκοντός τινος, ταῦτα συνθάψαι.“
— *so-that not knowing anyone these-things to-bury-with(-me)*
7 „Τί κέρδος,“ ἦν δ’ ἐγὼ, „μάταιε, ἢ ποίαν τινὰ λυσιτέλειαν
what gain said and I fool or what some profit
κερδήσειν ᾤου, εἰ ταῦθ’, ὡς διεξῆλθες ἐποίεις;“
to-gain did-you-think if these-things as you-related you-had-done
— „Μέγα,“ ἔφη πρός με, „καὶ πολλῶν ἐγκωμίων ἄξιον,
great he-said to me and of-many praises worthy
κάκιστε.“
worst
„Εἰ ταῦθ’ οὕτως,“ ἔφην, „ἐποίεις ὡς διεξῆλθες,
if these-things so I-said you-had-done as you-related
οὐκ ἐφοβοῦ τοὺς τυμβορύκτας, μνησίκακε, μή σε δὶς
not did-you-fear the tomb-robbers grudge-bearer lest you twice
κατασκάψωσιν;“
they-might-dig-up
— „Εἴθ’ ἐποίουν ἂν τοῦτο,“ εἶπε, „πρὸς τὸ μὴ γενέσθαι
would-that I-were-doing — this he-said for the not to-become
τὸν ἀντίτεχνόν μοι τῆς γραμματοεισαγωγικῆς ἐπιστήμης
the rival my of-the secretarial science
ἁπάσης ἔμπειρον, καὶ μὴ μόνον δὶς, ἀλλὰ καὶ ἑκατοντάκις,
all skilled and not only twice but even a-hundred-times

κατεσκαπτόμην ἄν. Εἰ δὲ καὶ ταῦτα μετ᾽ ἐμοῦ ἐπίμπρασαν,
I-would-be-dug-up — if and also these-things with me they-had-burned
κἂν γοῦν οἱ ὀδόντες, τοῦ ἄλλου σώματος δαπανηθέντος
even at-any-rate the teeth the rest body consumed
ὑπὸ τοῦ πυρὸς, ἐναπελείφθησαν ἂν, ὥς φασι, καὶ δι᾽
by the fire would-have-been-left — as they-say also through
αὐτῶν ἠμυνάμην ἂν τὸν ἀντίτεχνον.“
them I-would-have-punished — the rival
„Μελαγχολᾷς, ξεῖν᾽,“ εἶπον, „νὴ τὴν κεφαλὴν τὴν σὴν
you-are-mad stranger I-said by the head the your
καὶ τήνδε τὴν θαυμαστὴν ξυνουσίαν. Οὐκ οἶσθα ὅτι,
and this the wondrous meeting not do-you-know that
ὥσπερ σὺ γέγονας γραμματεὺς ἔμπειρος, γενήσεταί γε
as you became secretary skilled will-become —
κἀκεῖνος καὶ ἄνευ τῶν σῶν εἰδήσεων;“
he-too even without the your records
— „Οὐμενοῦν,“ ἔφη, „ἥκιστα, κἂν πάντες ῥήτορες καὶ
by-no-means he-said least even-if all orators and
φιλόσοφοι φῶσι.“
philosophers say(-so)
„Καὶ ὅμως εἰ τοῦτ᾽,“ ἦν δ᾽ ἐγὼ πρὸς αὐτὸν, „οὐκ ἔνι
and yet if this said and I to him not is-possible
ὡς εἶπον, πῶς ἄρα σὺ μέγας γέγονας; Ὁ φλήναφος καὶ
as I-said how then you great became the babbler and
εἰρωνείας μεστὸς καὶ περὶ τοὺς εὐεργέτας ἀχάριστος, ὁ
of-dissembling full and toward the benefactors ungrateful the(-one)
λέγων ἄλλα τῷ μεγάλῳ βασιλεῖ καὶ ἄλλα γράφων
saying some-things to-the great emperor and others writing
λημμάτων εἵνεκα, Παδιάτης ἐκεῖνος, οὗτός μοι μεθ᾽ ἡμέραν
of-gains for-the-sake Padiates that he for-me by day

συνὼν καὶ διαλεγόμενος, καὶ ἡμέρας ὑπαγορεύων τεττάρων
being and conversing and days dictating of-four
ἐνιαυτῶν, τοιοῦτον, ὡς οἶδας, πεποίηκεν ἔμπειρον.“
years such as you-know made(-you) skilled

III · PADIATES

Padiates, hiding in the myrtles, leaps out and abuses Holobolos, who begs him to keep what he heard from Pluto and Persephone. Padiates praises Philommataios, mocks Holobolos' low birth, son of a wine-seller and grandson of a felt-cap maker, and says the emperor was right to name a rival, since Holobolos was always off with a nun; Holobolos boasts of the staff who covered for him and of the emperor's decree making him sole secretary for life. When Mazaris reminds Holobolos that he was once Padiates' rival, the two trade insults over Padiates' flight to Lemnos and his son, and when Holobolos calls the son a changeling, Padiates breaks his head with his cornel-wood club.

8 Τῆς οὖν διαλέξεως οὔπω πέρας λαβούσης (πολλὰ γὰρ
the then conversation not-yet end having-taken much for
ἐβουλόμην, ὡς εἶδον τοῦτον ἠκονημένον φέροντα τὸν
I-wished when I-saw him sharpened bearing the
θυμὸν, κολάσαι τε καὶ ἐπιστύψαι), αἴφνης ἀνίσταται
temper to-chastise both and to-rebuke suddenly rises
ἐκ τοῦ χώρου ἐκείνου, ἐν ᾧ μυρρίναι ὑπῆρχον ἐφ᾽
from the place that in which myrtles were in
αἷς ἐγκέκρυπτο, ὡς ἔφθην εἰπὼν, ὁ ποτὲ μὲν
which he-had-hidden as I-have-already said the(-one) once indeed
ἐπέραστος καὶ χρηστὸς, ὕστερον δὲ γενόμενος ἄχρηστος
lovable and good later but having-become useless
καὶ κατάπτυστος, Παδιάτης ἐκεῖνος ὁ πάνυ.
and despicable Padiates that the great

Φησὶν ἀγρίως οὕτω καὶ θυμοειδῶς, τοὺς μὲν ὀφθαλμοὺς
he-says savagely thus and passionately the indeed eyes
ὥσπερ ἐξ ἀγχόνης διαστρόφους πεποιηκὼς, ῥόπαλον δ'
as-if from strangling distorted having-made a-club and
ἔχων τὼ χεῖρε καὶ ὑποσκάζων· „Ὦ μῶρε καὶ παράληρε
having in-the two-hands and limping O fool and driveler
καὶ ῥεραφανιδωμένε Ὁλόβολε, καλά γ' ἐστὶ ταῦτα, ἅπερ
and radished Holobolos fine — are these-things which
μετὰ τοῦ κυλλοποδίωνος Μαζάρεος φληναφεῖς;
with the club-footed Mazaris you-babble
Ἐκεῖνος δ' εὐθὺς ὠχριάσας, καὶ μικρὸν ὑπομειδιάσας,
he and at-once having-turned-pale and a-little having-smiled
φησίν· „Ἐγὼ μὲν ᾤμην οὐδένα τῶν ἁπάντων κεκρύφθαι
says I indeed thought no-one of-the all to-be-hidden
ἐνταῦθα, ὦ κατὰ τὸν μυρταῖτην ἐκεῖνον Ἀνδρόνικον,
here O according-to the myrtle-seller that Andronikos
μπαντιάτα· καὶ διὰ τοῦτο ἀπεριμερίμνως καὶ ἁπλῶς
Padiates and because-of this carelessly and simply
ὡμίλουν, ὡς ἀκήκοας, οὕτω τῷ καλῷ κἀγαθῷ καὶ
I-conversed as you-have-heard so with-the fine and-good and
φίλῳ ἡμῶν, καὶ πρὸς αὐτὸν ἔλεγον ἐκεῖνα, ἅ ἧκιστ'
friend our and to him I-said those-things which least
ἐχρῆν σε ἀκοῦσαι· ἐπειδὴ δὲ σὺ μὲν ὡς ὠτακουστὴς
it-was-needful you to-hear since but you indeed as an-eavesdropper
κατεκρύφθης ἐν ταῖς μυρρίναις, λανθανόντως δέ πως ἐπ'
were-hidden in the myrtles unnoticed and somehow into
αὐταῖς εἰσερρύεις ὡς ὕδρος, καὶ ἅπερ εἶπον ἀκήκοας,
them slipped like a-water-snake and what I-said have-heard
δέομαι δή σου καὶ πάνυ δέομαι, φύλαξον ταῦτα, καὶ
I-beg indeed you and greatly I-beg keep these-things and
μηδὲν τούτων εἴπῃς πρός τινα τῶν ἁπάντων, οὐχ ἧκιστα
nothing of-these say to anyone of-the all not least

δέ γε πρὸς τὸν μέγαν Πλούτωνα καὶ τὴν Περσεφόνην. Ἢν
and — to the great Pluto and — Persephone if
γὰρ παρὰ τῆς σῆς μιαρᾶς γλώττης μάθωσι ταῦτα, τῷ
for from the your foul tongue they-learn these-things into-the
στόματ᾽ εὐθὺς ἐμβαλοῦσί με τοῦ Κερβέρου τὸν δύστηνον.“
mouth at-once they-will-throw me — of-Cerberus the wretch
„Θάῤῥει,“ ἔφη ἐκεῖνος, „καὶ ἔχ᾽ ἀτρέμας. Πλὴν καὶ τουτουΐ
take-heart said he and keep still but also this
δεήθητι τοῦ Μαζάρεος, ἵνα μὴ δῆλα ταῦτα πρὸς τοὺς
beg — Mazaris lest — plain these-things to the(-ones)
ἐν ταῖς βασιλικαῖς διατρίβοντας ποιήσῃ αὐλαῖς.“
in the imperial spending-time he-may-make courts
— „Πολλαχόθεν,“ ἔφη ἐκεῖνος, „τοῦτον θαῤῥῶ· σὲ δὲ
on-many-grounds said he him I-trust you but
μόνον ὑποδειλιῶ, καὶ τὴν σὴν τετρεμαίνω μιαρὰν γλῶτταν,
only I-fear and the your I-tremble-at foul tongue
ἵνα μὴ κἂν ᾅδου ποιήσῃς ὥσπερ ἀεὶ παίζων μᾶλλον
lest — even-in Hades you-may-do as always joking rather
ἢ σπουδάζων εἰώθεις ποιεῖν ἄνω ἐς τὸν βίον, ὑβρίζων
than being-serious you-were-wont to-do above in the life insulting
ἅμα λοιδορῶν τε καὶ εἰρωνευόμενος ὅσαι ὧραι πάντας
at-once railing both and mocking every hour all-men
καὶ πάσας.“
and all-women
Ὁ οὖν Παδιάτης ὀλίγον ἐπισχὼν, καὶ γοργὸν ἐμβλέψας
— then Padiates a-little having-paused and fiercely having-looked
ὥσπερ οἱ λέοντες, ἔλεξεν οὕτω πρὸς αὐτόν· „Οὐκ οἶσθα,
as the lions(-do) spoke thus to him not do-you-know
κάκιστε Ὁλόβολε, ὅτι ταῦθ᾽ οὕτω λέγων καθυβρίζεις
worst Holobolos that these-things so saying you-insult
κἀμὲ, ὥσπερ ἔναγχος ἐξ ἁμαξῶν ἔπλυνας τὸν ἐξ
me-too as lately from wagons you-abused the from

ἀγγέλων πονηρῶν ἀπόγονον Φιλομμάταιον, τὸν παρὰ
angels wicked descendant Philommataios the(-one) by
τοῦ μεγάλου βασιλέως μὲν ἐς τὰ μάλιστα φιλούμενον,
the great emperor indeed to the utmost loved
πολλῶν τε ἄλλων εἵνεκα, οὐχ ἥκιστα δέ γε διὰ τὸν
many both other(-reasons) for-the-sake not least and — because-of the
αὐτοῦ πάππον, τὸν χαλάσαντα, κατὰ τὸν μυρταῖτην
his grandfather the(-one) having-let-down according-to the myrtle-seller
ἐκεῖνον Ἀνδρόνικον, κτήριον ἑλληνικὸν αὐτοῦ καὶ τῆς
that Andronikos a-possession Hellenic his and from-the
εἱρκτῆς ἐκβαλόντα, παρὰ δὲ πάντων διὰ ταῦτα καὶ
prison having-cast-out by and all because-of these-things also
τιμώμενον παρ᾽ ἀξίαν καὶ ἐπαινούμενον, τὸν νεώτερον
honored beyond desert and praised the(-one) younger
καὶ εὐφυέστερον καὶ ὑγιαίστερον κατὰ πολὺ σοῦ,
and cleverer and healthier by far than-you
τὸν συναναστρεφόμενον τοῖς ἔνδον καὶ μεγάλων
the(-one) associating with-the(-ones) inside and great
κοινωνοῦντα μυστηρίων, τὸν εἰς ἅπαντα ἐντρεχῆ,
sharing secrets the(-one) in all adept
τὸν τόξα καὶ ὅπλα φέροντα, καὶ νεβρῶν καὶ ἄρκτων
the(-one) bows and arms bearing and fawns and bears
κατατρέχοντα, καὶ σύας βάλλοντα μᾶλλον ἢ πτῶκας,
running-down and boars striking rather than hares
κἀπὶ τὰ πολεμικὰ δὲ ἐμπειρότερον τυγχάνοντα, τὸν
and-in the things-of-war too more-skilled being the(-one)
ἐπὶ σατράπαις πρεσβείας ποιοῦντα, τὸν ἀοκνοτέρως
to satraps embassies making the(-one) more-diligently
καὶ εὐφυεστέρως γράφοντα σοῦ, καὶ μήτε ξυγγραμματέα
and more-cleverly writing than-you and neither a-fellow-secretary
μεθ᾽ ἑαυτοῦ γράφειν ἔχοντα, μηθ᾽ ὑπογραμματέα, ἀλλὰ
with himself to-write having nor an-under-secretary but

περιφανῶς πάντα δι᾽ αὐτοῦ γράφοντα, λημμάτων ἕνεκα,
manifestly all by himself writing of-gains for-the-sake
τὸν νύκτωρ καὶ μεθ᾽ ἡμέραν διατρίβοντα ταῖς βασιλικαῖς
the(-one) by-night and by day spending-time in-the imperial
αὐλαῖς, καὶ πάντα τρόπον ποιοῦντα καὶ πραγματευόμενον
courts and every way doing and contriving
πρὸς τὸ μὴ μεθ᾽ ἑαυτοῦ ξυγγράφειν ἕτερόν τινα. Οὐκ
for the not with himself to-write another any not
αἰσχύνῃ οὖν, ταλάντατε, οὐδ᾽ ἐρυθριᾷς, ἀλλὰ παραβάλλεις
are-you-ashamed then most-wretched nor do-you-blush but you-compare
τὰ τοῦδε μετὰ σαυτοῦ· ἢ ἐπελάθου ὡς ὁ σὸς μὲν
the(-things) of-him with yourself or have-you-forgotten that the your indeed
πατὴρ οἰνοπώλης ἦν, ὁ δὲ τὸν πατέρα φύσας ἦν
father a-wine-seller was the(-one) and the father having-begotten was
ἐργαζόμενος ὑπὸ ἐρίων κεφαλῆς πίλα, φορῶν διφθέραν;“
making of wool for-the-head felt-caps wearing a-leather-jerkin
9 Κἀπὶ τούτοις ὁ Ὁλόβολος ἀνείθη τε καὶ ἐγέλασε, καὶ
and-at these — Holobolos relaxed both and laughed and
πρὸς ἐμέ, „Φίλτατε,“ ἔφη, „ποῖος Τελχὶν ἥκε φέρων
to me dearest he-said what Telchine came bringing
ἐνταυθοῖ τουτονὶ τὸν ἐπάρατον καὶ παλαμναῖον καὶ
hither this the accursed and murderous and
ὑβριστὴν, τὸν οὐ πρὸς ἀλήθειαν, ἀλλὰ πρὸς χάριν
insolent(-one) the(-one) not for truth but for favor
καὶ ψεῦδος πᾶσι φιλοῦντα, τὸν τὴν ξυνουσίαν ἡμῶν
and falsehood to-all showing-love the(-one) the converse our
ἀνακόψαντα τὴν χρηστὴν ἐκείνην;“
having-broken-off the good that
Ὁ δὲ Παδιάτης, στρυφνῷ τῷ προσώπῳ ὑποστρέψας,
— and Padiates with-sour the face having-turned
„Ποίαν,“ ἔφη, „συνουσίαν; μή τις ξυνεγένετο τῷ
what he-said converse — anyone has-consorted with-the

ἑτέρῳ;“ — Κἀγὼ ἐρυθριάσας ἔφην· „Εὔφημα φώνει ἐν
other and-I having-blushed said fair-words speak in
ᾅδου, παράνομε, καὶ μὴ φληνάφει.“
Hades lawless-one and not babble
Καὶ ὃς, λαβόμενός μου τῆς χειρὸς, ἔφη· „Ὁρκιῶ σε ἐπ’
and he having-taken my the hand said I-adjure you upon
ἀληθείας, ὦ κατὰ Λατίνους κουμπάρε· εἰπὲ τίς χρὴ
truth O according-to the-Latins godfather tell who ought
ἐμοῦ ἂν καὶ τούτου γε πλέον λυπεῖσθαι, ἔγωγε, ὁ
of-me — and of-him — more to-grieve I the(-one)
πατρίδα καὶ γένος καὶ οἰκίας καὶ ἀγροὺς καὶ πλοῦτον
country and family and houses and fields and wealth
καὶ ἄλλ’ ἄττα καταλιπὼν, ἔτι τε διατριβὴν καὶ πολιτείαν
and other things having-left still and way-of-life and station
βελτιωτέραν τῆς ἧς ἀπήλαυσα ἐν βασιλείοις, ὁ
better than-the which I-enjoyed in palace the(-one)
καὶ τῷ μεγάλῳ βασιλεῖ συγκοπιάσας, κἂν τῇ
also with-the great emperor having-toiled both-in the(-city)
Κωνσταντίνου, κἂν τῇ Φιλίππου, κἂν τῇ Ἀνατολῇ,
of-Constantine and-in the(-city) of-Philip and-in the East
κἂν τῇ πολυυμνήτῳ Λήμνῳ, καὶ πανταχοῦ, ἢ οὗτος
and-in the much-sung Lemnos and everywhere or this
ὁ ῥεραφανιδωμένος καὶ βδελυγμίας Ὁλόβολος, ὁ ἐκ
the radished and abomination Holobolos the(-one) from
πενήτων πλούσιος, καὶ ἐξ ἀτίμων τίμιος, καὶ ἔνδοξος ἐξ
poor rich and from dishonored honored and glorious from
ἀδόξων, καὶ ἐξ ἀγνώστων γνωστὸς γενόμενος, ὁ τὴν
inglorious and from unknown known having-become the(-one) the
πατρίδα μὲν οἰκῶν, οἰκίας δ’ ἀνοικοδομήσας λαμπρὰς,
country indeed inhabiting houses and having-built-up splendid
ἃς οὐδ’ ἐν ὀνείροις εἶδέ ποτε, ὁ λευκὰς καὶ
which not-even in dreams he-saw ever the(-one) white and

σηρικὰς καὶ βασιλικὰς ἠμφιεσμένος ἐσθῆτας, πρότερον δὲ
silken and imperial having-put-on robes formerly but
διφθέραν φορῶν, ὥσπερ ὁ τούτου πρόγονος.“
a-leather-jerkin wearing as the his forebear
Ἦν δ’ ἐγὼ πρὸς αὐτὸν βλέμματι καὶ νεύματι· „Σὲ
said and I to him with-look and nod you
αὐτότατον πλέον ἐκείνου λυπεῖσθαι χρή.“
your-very-self more than-be to-grieve ought
Εἶτ’ αὖθις ἔφη πρὸς ἐκεῖνον ὑποστρέψας, ὥσπερ εἰώθει
then again he-said to him having-turned as he-was-wont
παίζων ἀεί· „Μῶρε καὶ καταγεγαυρωμένε Ὁλόβολε,
joking always fool and puffed-up Holobolos
εἰ μὲν ὁ κράτιστος καὶ διακριτικώτατος αὐτοκράτωρ
if indeed the mightiest and most-discerning emperor
ἀποκατέστησεν ἀντίτεχνον, σοῦ παρόντος, καὶ νύκτωρ
had-appointed a-rival you being-present and by-night
καὶ μεθ’ ἡμέραν ἐν βασιλείοις σοῦ εὑρισκομένου, ὁσίως
and by day in palace you being-found rightly
ἂν λελύπησαι, καὶ μετόπισθεν δικαίως τε, καθ’
— you-would-have-grieved and afterward justly — according-to
Ὅμηρον, ἔσχες κότον ὄφρα τελέσῃς κατὰ
Homer you-would-have-held grudge until you-might-accomplish(-it) against
τοῦ ἀντιτέχνου, καὶ καλῶς πρὸς τὸν καλὸν κἀγαθὸν
the rival and well to the fine and-good
ἑταῖρον ἡμῶν Μάζαριν περὶ τούτων διεξῆλθες· ἐπειδὴ
comrade our Mazaris about these-things you-would-have-related since
δὲ πολλάκις, μᾶλλον δὲ μυριάκις ἐζητήθης παρὰ τοῦ
but often rather and ten-thousand-times you-were-sought by the
κρατοῦντος καὶ ἥκισθ’ εὑρέθης, καὶ πολλαὶ μὲν καὶ μεγάλαι
ruler and least you-were-found and many indeed and great
δουλεῖαι, πάμπολλαι δὲ ὑποθέσεις, ἄκυραί τε καὶ ἡμιτελεῖς
services very-many and affairs void both and half-finished

ἐναπελείφθησαν, ἐξ ὧν ἡ τῶν Ῥωμαίων εὐδαιμονία
were-left from which the of-the Romans prosperity
μεμείωται, σοῦ μὴ εὑρισκομένου ἐν ταῖς βασιλικαῖς αὐλαῖς,
has-been-diminished you not being-found in the imperial courts
ἐπὶ δὲ τῇ κεκοισυρωμένῃ μαχλώσῃ τε καὶ ἐπὶ μέγα
on but the dolled-up wanton both and to great(-degree)
γαυρουμένῃ, καὶ τάχα γε μοναζούσῃ, τῇ μείζονι τοῦ
preening and perhaps — a-nun the greater than-the
ματαίου καλινδουμένου ἀωρὶ νυκτῶν τε καὶ μεσημβρίας,
foolish(-one) wallowing untimely of-nights both and of-noon
πῶς οὐχ ὅσιον τὸν κρατοῦντα καταστῆσαι ἀντίτεχνον;
how not right(-was-it) the ruler to-appoint a-rival
Πρὸς ταῦθ' Ὁλόβολε, χαλέπαινε καὶ πήδα, καὶ πάντων
at these-things Holobolos rage and leap and of-all
ἀνδρῶν μιαρώτατον ἐμὲ κάλει, ὥσπερ νῦν ἤδη καλεῖς."
men most-foul me call as now already you-call
Ἐπὶ τούτοις καὶ ὁ χρηστὸς Ὁλόβολος ἐνέδυ τὴν λεοντῆν,
at these also the good Holobolos put-on the lion-skin
ὥς φασι, καὶ τῆς δεξιᾶς μοι λαβόμενος, καὶ οὗτος
as they-say and the right(-hand) my having-taken also he
ὑποτρέμων ὑπὸ θυμοῦ (τὴν γὰρ θατέραν χεῖρα τὸ γόνυ
trembling with anger the for other hand the knee
κατεῖχε), φησὶν ἀριδήλως οὕτω καὶ μανικῶς πρὸς αὐτόν·
held says plainly thus and madly to him
„Ἐμοὶ, μπαντιάτα, γύναιον οὐκ ἦν· ἀλλ' οὐδὲ ποδαλγῶν
for-me Padiates a-woman not there-was but nor gouty-footed
ἢ χειραλγῶν ἐτύγχανόν ποτε, ὥσπερ σύ. Εἴπερ οὖν,
or gouty-handed I-happened(-to-be) ever as you if then
κατὰ μεσημβρίαν ἢ νυκτῶν ἀωρὶ, κωμάσδων ἀπηρχόμην
at noon or of-nights untimely reveling I-went-off
ποτὶ τὰν μείζονα τοῦ ματαίου, κατὰ Θεόκριτον, ἀλλ'
to the greater than-the foolish according-to Theocritus yet

οὖν εἶχον ὑπογραμματέα τὸν μείουρον καὶ ἀκέφαλον, τὸν
then I-had as-under-secretary the stump-tailed and headless the
— ἤστραψε φῶτα — Κασσιανὸν, ὃν ἀντ᾽ ἐμοῦ παρεὶς
he-flashed lights Kassianos whom in-place-of me having-left
ταῖς βασιλικαῖς αὐλαῖς μένειν ἐκέλευον. Ἔτι γε μὴν εἶχον
in-the imperial courts to-remain I-bade besides — indeed I-had
τὸν Μανικαΐταον οὐλωμένον, τὸν νεκρέγερτον Ὤκιμον,
— Manikaitaos scarred the risen-from-the-dead Okimos
καὶ τὸν τούτου ὁμώνυμον, τὸν εἰς κάλλος γράφοντα,
and the his namesake the(-one) in beauty writing
Κέληφον, καὶ τὸν οἰνόφλυγα Τζαμαμύρεα. Διὰ τοῦτο οὐ
Kelephos and the wine-bibbing Tzamamyres because-of this not
δίκαιον ἦν γενέσθαι ἀντίτεχνον, καὶ δι᾽ ἄλλα μὲν
just it-was to-come-to-be a-rival and because-of other(-things) indeed
πολλὰ, οὐχ ἥκιστα δέ γε δι᾽ ὅπερ μοι ἐς Ἰταλίαν
many not least and — because-of what me in Italy
διατρίβοντι, μετὰ τῶν ἄλλων εὐεργετήθην καὶ αὐτὸς παρὰ
staying with the others I-was-favored also myself by
τοῦ θειοτάτου αὐτοκράτορος πρὸς τάγμα θεῖον, ἵν᾽ ἐς ἀεὶ
the most-divine emperor with a-decree divine that for ever
τυγχάνω δήπουθεν εὑρισκόμενος μονώτατος γραμματεὺς
I-should-be surely found sole secretary
ῥητῶν τε καὶ ἀπορῥήτων, ὥσπερ καὶ τοὺς μεσίας
of-sayable both and unsayable as also the mediators
μεσάζειν τὸν ἅπαντα τῆς ζωῆς αὐτῶν χρόνον πεποίηκεν.“
to-mediate the whole of-the life their time he-has-made
10 Ἦν δ᾽ ἐγὼ πρὸς αὐτὸν φιλικῶς μάλα καὶ ἠγαπημένως
said and I to him kindly very and affectionately
πλέον ἤπερ ἠπίως· ἐποίουν γὰρ οὕτω τοῦτο, διὰ τὸ
more than gently I-did for so this because-of the(-aim)
ἵνα τούτους ἀποκαταστήσαιμι εἰρηνικῶς καὶ μὴ φιλονείκως
that them I-might-restore peaceably and not quarrelsomely

ἔχειν· ἑώρων γὰρ τὸν ἐπάρατον Παδιάτην ὥρμενον
to-be I-saw for the accursed Padiates eager
ἐπὶ κόῤῥης πατάξαι, ὥσπερ καὶ τὸν ἐκ Τραπεζοῦντος
on temple to-strike as also the from Trebizond
γεννάδα δρουγγάριον ἐκεῖνον μέσον ἀγορᾶς ἐπὶ κόῤῥης
noble droungarios that in-the-middle of-the-market on temple
ἐπάταξεν· „Ὦ φίλταθ' Ὁλόβολε, ἄρ' οὐ μέμνησαι, ἀλλ'
he-struck O dearest Holobolos then not do-you-remember but
οὕτω ῥᾳδίως ἐπελάθου, ὅτιπερ καὶ αὐτὸς σὺ ἀντίτεχνος
so easily have-you-forgotten that also yourself you rival
ἦσθα τουτουΐ Παδιάτου τοῦ πάνυ;“
were of-this Padiates the great
Καὶ ὃς ὑποτρέμων ἔφη· „Οὐχί, ἀλλ' ὑπογραμματεύς.“
and he trembling said no but under-secretary
Καὶ ὁ Παδιάτης, „Ναίχι,“ φησὶ, „τριβολαῖε, μᾶλλον δὲ
and — Padiates yes-indeed says caltrop-man rather but
τριωβολιμαῖε, καὶ διαβολεῦ ἀληθείας, Ὁλόβολε, ἀντίτεχνος
three-obol-man and slanderer of-truth Holobolos rival
ἦσθα, οὐχ ὑπογραμματεύς.“ Τῆς θατέρας οὖν μοι λαβόμενος
you-were not under-secretary the other then my having-taken
καὶ αὐτὸς χειρὸς, φησὶν οὕτως, ἐπαμνύων· „Νὴ τὴν ἡμετέραν
also he hand says thus swearing by the our
φιλίαν, ὦ ἀδελφὲ, καὶ ἵν' ἡμᾶς ἐλευθερώσῃ ὁ πάντα
friendship O brother and so-may us free the all-things
ποιῶν καὶ μετασκευάζων παντοκράτωρ πρὸς λυσιτέλειαν
making and refashioning almighty for profit
τῆς τε δεινῆς χειραλγοποδάγρας καὶ τῆς πενίας, ἔτι
from-the both terrible hand-and-foot-gout and the poverty still
γε μὴν τῆς ἀθυμίας καὶ τοῦ προπηλακισμοῦ, ἅπερ ἡμῶν
— indeed the despondency and the abuse which of-us
ἑκάτερος πέπονθε, καὶ ναὶ τὴν τοῦ φιλτάτου μου υἱοῦ
each has-suffered and by the of-the dearest my son

ζωὴν, τοῦ σειομένου καὶ διαθρυπτομένου ἐν τῇ βαδίσει
life the(-one) swaying and mincing in the gait
τῆς ἑαυτοῦ πλέον ἀξίας, τοῦ παρωνύμως κατὰ τὸν
than-the his-own more station the(-one) by-surname after —
Κλαυδιώτην ἐκεῖνον σούπασιν, Σεσέλκωϊ ἐπονομαζομένου,
Claudiotes that soupasis Seselkoi surnamed
διὰ τουτονὶ τὸν ἀλιτήριον καὶ τὴν αὐτοῦ ἀναίδειαν καὶ
because-of this the wretch and the his shamelessness and
ἀντιτεχνίαν, ἐς νῆσον Λῆμνον, τὰ πάντα δεύτερα θέμενος,
rivalry to the-island Lemnos the all second having-put
καταπεπλευκὼς ἀπῆλθον. Ἐζηλοτύπουν γὰρ αὐτὸν καὶ οὐκ
having-sailed I-went-away I-envied for him and not
ἠνειχόμην ὁρᾶν, ὁρῶν γράφοντα μὲν καὶ ἀπόντος
I-could-bear to-see(-him) seeing(-him) writing indeed both absent
ἐμοῦ καὶ παρόντος. ἔνδον δὲ ζητούμενον ἐς ἀεὶ πάντοτε.“
me and present inside and sought for ever always
— „Οὐχ οὑτωτρόπως,“ εἶπεν ἐκεῖνος, „ὦ κυλλοποδίων
not in-this-way said he O club-footed
Παδιάτα, ἐς Λῆμνον ἀπαίρεις, ἀλλ᾽ οὕτω· τὸν γὰρ τὰς
Padiates to Lemnos you-set-sail but thus the for in-the
φρένας τετρωμένον κερουλκῷ βέλει Μαλακηνὸν ἐκεῖνον,
wits wounded by-a-horn-drawn arrow Malakenos that
τὸν σὸν σύμμοιρον πτοηθεὶς, μή πως ἐκ τῶν βαράθρων
the your fellow having-dreaded lest somehow from the pits
τῆς Θετταλῶν ἥξειε πόλεως, καὶ τῆς πολυθρυλλήτου
of-the of-Thessalians he-should-come city and the much-talked-of
κλίμακος ἐπαναβεβηκὼς στῇ, ὥσπερ αἱ μοιχαλίδες τοὺς
stair having-mounted should-stand as the adulteresses the
σφῶν ἄνδρας λέγουσιν ἐπαπειλούμεναι· Ὁρᾶτε, ἄνδρες· μὴ
their husbands tell threatening look husbands not
κακῶς ἡμᾶς λέγετε· ἀναβήσεσθε γὰρ παρ᾽ ἡμῶν καὶ ἄκοντες
badly of-us speak you-will-mount for by us even unwilling

ἐς τὴν τοῦ πατριαρχείου θρυλλουμένην κλίμακα, τὴν
to the of-the patriarchate talked-of stair the(-one)
ἔχουσαν βαθμοὺς δύο πρὸς τοῖς ἑβδομήκοντα· τοῦτον τὸν
having steps two besides the seventy him the
κερασφόρον, ὡς ἔφθην εἰπὼν, φοβηθεὶς, τὸν τῆς Λήμνου
horn-bearer as I-have-already said having-feared the — of-Lemnos
δρομαίως ἔδραμες δρόμον, μηδένα τῶν ἄλλων ποιησάμενος
at-a-run you-ran course no of-the others having-made
λόγον· ἀλλ' ὥσπερ ἐκ δεσμωτηρίου τινὸς ἀποδρὰς,
account but as from prison some having-escaped
μᾶλλον δ' ὥσπερ ἔκ τινος ὕσπληγγος, ὑποσκάζων ἔθεες,
rather but as from some starting-gate limping you-ran
θαμὰ βλέπων ὄπισθεν, δειλιῶν καὶ ὑποτρέμων, μὴ πού
often looking behind fearing and trembling lest perhaps
γέ τις παρὰ πόδας διώκει." Πρὸς ἐμὲ δὲ ὑποστρέψας
— someone at heels pursues to me and having-turned
φησὶν οὕτω· „Πεπίστευκας τοὺς αὐτοῦ ὅρκους, ξεῖνε; οὐκ
he-says thus have-you-believed the his oaths stranger not
οἶσθα ὅτι τοῦ Ῥίφα Χαλκεοπούλου ἐκείνου τυγχάνει
do-you-know that — of-Rhiphas Chalkeopoulos that he-happens
ὢν ὑποβολιμαῖος, ὅντινα καλεῖ υἱὸν οὑτοσί."
being a-changeling whom calls son this-man
Ἐπὶ τούτοις ταραχθεὶς ὁ ἀλιτήριος Παδιάτης, ἅμα τε
at these troubled the wretched Padiates at-once both
καὶ μανεὶς, τὴν κεφαλὴν τοῦ χρηστοῦ Ὁλοβόλου κατέαξε
and maddened the head of-the good Holobolos broke
τῷ ῥοπάλῳ ᾧ ἐπεστήρικτο· τὸ δ' ἦν ἐκ κρανείας·
with-the club on-which he-leaned it and was of cornel-wood
ἐγκέφαλος δ' εὐθὺς ἐκ ῥινῶν, καθ' Ὅμηρον, ἔσταζε.
brain and at-once from nostrils according-to Homer dripped

The physician Pepagomenos stops Holobolos' bleeding and lays Mazaris' fall to his loyalty to the emperor; Mazaris adds that his misfortunes began with his marriage. Other shades of the court come up in turn: Antiochos asks after his beloved; Claudiotes, his hair dyed with ravens' eggs, recalls warning that Zosimas' kindness to his son Aitines, a convert, was thrown away; Aspietaos vows never to forget the florins taken from him in Gaul; and Bartholomaios begs Mazaris to warn the emperor not to send the Latin-minded Mouskaranos as envoy to the podestà of Galata, and denounces the counselor behind him, who sowed tares in the Great Church and talked his son-in-law Raoul Myrmex into buying Thasos.

11 Βοῆς δὲ γενομένης καὶ ταραχῆς ὅτι πολλῆς ἐπὶ τούτῳ,
a-shout and having-arisen and uproar as-much as-possible at this
καὶ ἄλλος ἄλλοθεν εἰσπηδήσας ἐς τὸν θροῦν ἦκον ἐκεῖνον,
and one from-elsewhere having-rushed-in to the clamor came that
καὶ τοῦ ἀθλίου Ὁλοβόλου λειποψυχοῦντος, καὶ διωλύγιον
and the wretched Holobolos fainting and loudly
φθεγγομένου, „Ἐλθέτω ἰατρός" (ποταμηδὸν γὰρ ἐκ κεφαλῆς
crying let-come a-physician in-a-river for from head
ἔῤῥει τὸ αἷμα), ἦκε κληθεὶς ἐκ τῶν ἰατρῶν ὁ καλὸς κἀγαθὸς
flowed the blood came summoned from the physicians the fine and-good
Πεπαγωμένος ἐκεῖνος, ὁ δηλητήριον ἀντ' ἀλεξιτηρίου
Pepagomenos that the(-one) a-poison instead-of an-antidote
κερασάμενος φάρμακον, καὶ ἑαυτῷ καὶ τῷ Φωκιδίῳ ἐκείνῳ
having-mixed drug both to-himself and — to-Phokidios that
τῷ οἰνόφλυγι καὶ ὑπογραμματεῖ τοῦ Ἰαπετοῦ Εὐμαράντου
the wine-bibber and under-secretary — of-Iapetos Eumarantos
ἐκείνου δεδωκὼς, καὶ τὴν μὲν ῥύσιν εὐθὺς τοῦ αἵματος
that having-given(-it) and the indeed flow at-once of-the blood
ἔστησε, βοτάνην ἐπιθεὶς τὴν καλομένην βούφθαλμον.
stopped a-herb having-applied the(-one) called ox-eye

Ἐμὲ δὲ ἰδὼν ἠσπάσατό τε καὶ περιέβαλε πρῶτον, εἶτ'
me and having-seen he-greeted both and embraced first then
ἤρετο· „Πῶς, υἱέ μου, τοιοῦτος γέγονας, πόθεν δὲ ἥκεις
asked how son my such have-you-become whence and do-you-come
αὐχμῶν, κυλλοποδιτιῶν, ὠχριῶν, θυραυλῶν, τοὺς τῶν
squalid club-footed pale houseless the of-the
χειρῶν καὶ ποδῶν δακτύλους ἐξηρθρωμένους ἔχων; πόθεν δὲ
hands and feet fingers disjointed having whence and
γέγονας, πένης ἅμα καὶ προσαίτης, ἄτιμός τε καὶ ἄδοξος;
have-you-become poor at-once and a-beggar dishonored both and inglorious
κἀκ ποίας δ' αἰτίας ταυτὶ πέπονθας; εἰπὲ πρὸς φιλίας."
and-from what too cause these-things have-you-suffered tell by friendship
Ἦν δ' ἐγὼ πρὸς αὐτὸν στενάξας· „ὅτι μὲν εἰμὶ τοιοῦτος
said and I to him having-groaned that indeed I-am such
ὡς ὁρᾷς, καὶ αὐτὸς οἶδα· ἐκ δὲ ποίας αἰτίας γέγονα
as you-see also myself I-know from but what cause I-have-become
τοιοῦτος, συνιδεῖν οὐκ ἔχω."
such to-see not I-can
— „Ἀλλ' οἶδ' ἔγωγ'," ἔφη, „τὴν αἰτίαν· πλὴν οἵαν οἴομαι,
but know I he-said the cause but what I-think
πρὸς σὲ ταύτην ἐρῶ."
to you it I-will-tell
„Εἰπέ," εἶπον ἐγὼ, „πρὸς θεοῦ, καὶ μηδὲν κρύψῃς."
tell I-said I by God and nothing hide
— „Πιστεύω," εἶπεν, „υἱέ· δι' οὐδὲν ἄλλο γέγονας
I-believe he-said son because-of nothing else have-you-become
τοιοῦτος ἡλίκος νῦν ἦσθα, ἢ δι' ἣν κέκτησαι πίστιν
such as now you-are than because-of which you-have-got loyalty
ἐς βασιλέα ἀκλόνητον, ὅτιπερ οὐδ' ἐν ὀνείροις ἠβουλήθης
toward the-emperor unshakable in-that not-even in dreams you-wished
πώποτε γενέσθαι τούτου γε ἄπιστος, κἂν ὅσα δεινὰ
ever to-become to-him — faithless even-if how-many terrors

πολλά τε καὶ μεγάλα πέπονθας. Εἰ γὰρ παρησπόνδεις καὶ
many both and great you-have-suffered if for you-had-broken-faith also
αὐτὸς, εὑρισκομένου σου ἐν Λήμνῳ, ὥσπερ καὶ ἄλλοι μὲν
yourself being you in Lemnos as also others indeed
πολλοὶ, οὐχ ἥκιστα δ' ὥσπερ ὁ θρυλλούμενος κερασφόρος
many not least and as the notorious horn-bearer
Κεράντζης ἐκεῖνος, ὁ ἑβδομήκοντα μόνον ἐς περιουσίαν
Kerantzes that the(-one) seventy only as property
ἔχων τότε νομίσματα, καὶ τῷ ἀδελφιδεῖ τοῦ γενναιοτάτου
having then coins and the nephew of-the most-noble
αὐτοκράτορος τῷ χαριτωνύμῳ ἐκείνῳ βασιλεῖ ἠκολούθεις
emperor the grace-named that emperor you-had-followed
ἐν τῇ Φιλίππου, οὔτ' ἂν ὁ ἐκ Λιβύης κίβδηλος Χῖος
in the(-city) of-Philip neither — the from Libya counterfeit Chian
ἐκεῖνος ὁ καὶ βδελυγμίας θετολόγος διέβαλεν ἄν σε,
that the also abomination assessor would-have-slandered — you
οὔτε κατὰ σοῦ κακὰ καὶ διενοήσατο καὶ πεποίηκεν ὁ
nor against you evils both would-have-devised and done the
κολοιόφθαλμος φὼρ κατὰ Κλαυδιώτην, ὁ μελαίνης μὲν
jackdaw-eyed thief after Claudiotes the of-the-black indeed
καὶ λευκῆς χρηματίσας θαλάττης ἀπογραφεὺς δοκιμώτατος,
and white having-been sea registrar most-approved
νῦν δὲ θεόληπτος, μᾶλλον δὲ φρενόληπτος, ναζιραῖος
now but god-possessed rather but mind-possessed a-nazirite
γενόμενος, ἱκανὸν δ' ἂν εἶχες ἀργύριον, δόξαν τε
having-become much and — you-would-have silver glory both
καὶ τιμὴν καὶ ὑγιείαν, καὶ μεγάλας ἐλειτούργεις ἂν
and honor and health and great you-would-be-serving —
λειτουργίας, ὥσπερ τὸν κερουλκῷ τετρωμένον βέλει,
offices as the(-one) by-a-horn-drawn wounded arrow
μελάντερον Κεράντζην ἐκεῖνον, καὶ τὸν ὁμοίως καπνίαν
blacker Kerantzes that and the likewise smoky

Ταρχανειώτην, καὶ μολυβδοχαλκόχρωον Μαχητὰν ἐκεῖνον,
Tarchaneiotes and lead-bronze-colored Machetas that
καὶ ἄλλους πολλούς.“
and others many
„Ἐκ παλαιοῦ ἂν ἐγίνωσκον καὶ αὐτὸς,“ ἔφην, „οὕτως ἔχειν,
from long-ago — I-knew also myself I-said so to-be
ὡς ἔφησθα. Πλὴν ἐδεδοίκειν λέγειν, ἵνα μὴ καὶ τοῦτο μετὰ
as you-said but I-feared to-say(-it) lest — also this with
τῶν λοιπῶν προσθήκη μοί τις γένηται, καὶ πολλῶν κακῶν
the rest an-addition to-me some may-become and of-many evils
ἀφορμή· ἡ γὰρ διηνεκὴς ἀθυμία, ἣν νύκτωρ καὶ μεθ’ ἡμέραν
occasion the for continual despondency which by-night and by day
εἶχον, καὶ αἱ τοῦ κρατοῦντος ὀργαὶ, καὶ τὸ πονηρὰν εἰς ἐμὲ
I-had and the of-the ruler angers and the bad about me
πάντοτε δόξαν ἔχειν, τοιοῦτον, ὡς ὁρᾷς, ἤδη πεποίηκε.“
always opinion to-hold such as you-see already have-made(-me)
— „Μέγαν ὄκνον,“ ἔφη, „υἱὲ, καὶ πολλὴν ἔχω δειλίαν, 12
great hesitation he-said son and much I-have fear
πλεῖστά τε πεφόβημαι, καθάπερ πτηνῆς ὄμμα πελείας,
most both I-have-feared like of-a-winged eye dove
κατὰ τὸν ποιητὴν, περὶ τῶν ἐμῶν μὲν υἱῶν, σῶν δὲ
according-to the poet about the my indeed sons your and
ἑταίρων, ἵνα μὴ γένηταί τι τοιοῦτον καὶ πρὸς αὐτοὺς,
comrades lest — may-happen something such also to them
ὁποῖον ἄρα καὶ ἐπὶ σοὶ γέγονεν. Ἔμαθον γὰρ παρὰ τῶν
as then also to you has-happened I-learned for from the(-ones)
ἀπὸ βίου ἀφικνουμένων, ὅτιπερ ἐβούλοντο πρὸς ἄρκτον
from life arriving that they-wished to-the north
ἀπελθεῖν, καὶ τῷ εὐεργετικωτάτῳ βοεβόδᾳ δουλεύειν
to-go and the most-beneficent voivode to-serve
πρὸς τὸ καὶ τούτους πλουτῆσαι, ὥσπερ πεπλούτηκεν
for the also them to-grow-rich as has-grown-rich

ἐξαπίνης ὁ ἀοιδὸς Πῶλος Ἀργυρὸς ἀπελθὼν, παρὰ δὲ
suddenly the singer Polos Argyros having-gone by but
τοῦ πρὸς μητρὸς θείου τοῦ Ἀκράγαντος ἐκωλύθησαν καὶ
the on mother's(-side) uncle — Akragas they-were-prevented and
εὑρίσκονται νῦν ἐν τῇ παλαιᾷ ἄτῃ. Ὧν ὁ μὲν νεώτερος,
are-found now in the old ruin of-whom the indeed younger
ὁ ἐκ Πατροκλέους ἀφικόμενος Ἀλουσιάνος, ἐν τῷ
the(-one) from Patrokles having-come Alousianos in the
χορῷ τῶν ἔνδον συναναστρεφομένων εὑρίσκεται, τοῦ τε
chorus of-the(-ones) inside associating is-found — both
Λουκίου ἢ ὄνου, τοῦ τῆς ὀπώρας Κυδωνίου ἢ προβάτου,
of-Lucius or ass of-the of-the fruit Quince or sheep
τοῦ πυγὴν νύττοντος Πυγωνίτου, τοῦ δεινοπλήγου Ζωτικοῦ,
of-the rump goading Pygonites of-the terrible-striking Zotikos
καὶ τοῦ Βερονικέος πιθήκου τοῦ Ἀνδρονίκου, καὶ, πρὸ
and of-the Veronese ape — Andronikos and before
τούτων, τῶν κορυφαίων, τοῦ τε Συρματθαίου τοῦ
these of-the leaders — both of-Syrmatthaios the
χρυσοεγκεφάλου, τοῦ καὶ ἐς ἀπόπατον ἄνευ διαγνώσεως
golden-brained the(-one) even to the-privy without reading
ἀστρολάβου μὴ ἀπερχομένου, καὶ τοῦ κοπρίου μικροῦ
of-astrolabe not going and of-the dung little
Θεοδοσίου, τοῦ ἐν τοῖς ὕπνοις λευκὴν ἠμφιεσμένου ἐσθῆτα
Theodosios the(-one) in the sleeps white having-put-on robe
βασιλικήν· ἄτερος δ' ὁ πρεσβύτερος, ὁ Πεπαγωμένος μὲν
imperial the-other and the elder — Pepagomenos indeed
ὠνομασμένος, παρωνύμως δὲ Σαυρομάτης γε κεκλημένος,
named by-surname and Sauromates — called
ἐν τῷ καταλόγῳ τῶν μιαιφόνων βροτολοιγῶν, οἷόν γε τοῦ
in the roll of-the bloodthirsty man-destroyers such-as — of-the
κατὰ Λατίνους Ὀνοκεντίου τοῦ τὰς φρένας πεπηρωμένου,
among the-Latins Onokentios the in-the wits maimed

τοῦ αὐταδέλφου τούτου τοῦ ἐοικότος Λιβίστρου, τοῦ
the full-brother his the(-one) resembling Libistros the
ἐκκεκωφωμένου καὶ ἐμβροντήτου Μαλάκεος, καὶ τοῦ,
deafened and thunderstruck Malakes and the(-one)
κατὰ Συνέσιον, ὀργὴν ἠριθμημένου Πενταπόλεως,
according-to Synesios a-plague counted of-the-Pentapolis
Πέτρου, καὶ πρὸ τούτων, τοῦ κερβέρου Κωνώνη, τοῦ
Peter and before these of-the cerberus Konones the(-one)
ἀντ' ἀλεξιτηρίου κώνειον τοῖς ἀνθρώποις παρεχομένου,
instead-of antidote hemlock to-the men offering
καὶ τοῦ ῥᾳδίως καὶ ἀναιμωτὶ πρὸς Χάρωνα τοὺς
and the(-one) easily and bloodlessly to Charon the(-ones)
πονήρως ἔχοντας προοδοποιουμένου Χαρσιανίταο."
badly faring speeding-on Charsianites
„Θάῤῥει," ἔφην ἐγὼ, „καὶ ἔχ' ἀτρέμας· οὐδὲ γὰρ ἂν
take-heart said I and keep still not for —
πάθωσί τι τοιοῦτον, ἕως ἂν ὦσιν ἄζυγες· ἐπειδὰν
they-would-suffer anything such as-long-as — they-are unmarried when
δέ γε βουληθεῖεν γῆμαι, τότ' ὄψει τούτους ὁμοίους ἐμοὶ
but — they-should-wish to-marry then you-will-see them like me
καὶ χείρονας. Ἔγωγε μὲν γὰρ, ἕως μόνος ἔζων, ἀπήλαυον
and worse I indeed for while alone I-lived I-enjoyed
ἱκανῆς δόξης τε καὶ τιμῆς, οἵας ἦν εἰκὸς ἀπολαῦσαι, καὶ
much glory both and honor such-as it-was fitting to-enjoy and
πλούτου, καὶ ἄλλων ὧν οἶδας ἀγαθῶν· εὐθὺς δὲ (φεῦ μοι!)
wealth and other which you-know goods at-once but alas for-me
τῷ γῆμαί με παρὰ πόδας ἠκολούθησαν αἱ δυστυχίαι,
upon-the to-marry me at heels followed the misfortunes
ἐπεὶ ταῖς ἀρεταῖς, κατὰ τὸν εἰπόντα, παραπεπήγασιν
since to-the virtues according-to the(-one) having-said are-fixed-beside
αἱ κακίαι. Καὶ φαίνομαι, ὡς ὁῤᾷς, τοιοῦτος."
the vices and I-appear as you-see such

— „Καὶ τοιοῦτος,“ ἔφη ἐκεῖνος, „κἂν ᾅδου βούλει γε
and such said he even-in Hades do-you-wish —
διατρίβειν;“
to-spend-time
Ἦν δ’ ἐγὼ πρὸς αὐτόν· „Οὐχί. Ἀλλ’ ἐπειδήπερ ἐν τῷ
said and I to him no but since in the
δυστήνῳ βίῳ πενίαν παρὰ πόδας καὶ ἀδοξίαν, φυγήν
wretched life poverty at heels and obscurity exile
τε καὶ ἀτιμίαν, προπηλακισμούς τε καὶ διαβολὰς καὶ
both and disgrace insults both and slanders and
συκοφαντίας, ἔτι τε νοσημάτων ἐπαλλήλων ἰδέας, καὶ,
false-charges still and of-diseases successive kinds and
τὸ δεινότερον, φοβερισμοὺς καὶ βασιλέως ὀργὴν, καὶ
the(-thing) more-terrible threats and of-the-emperor anger and
θεατρισμοὺς νῦν μὲν ἐν πόλεσι νῦν δ’ ἐν νήσοις, οὐκ
public-shamings now indeed in cities now and on islands not
ὀλίγας τε ζημίας, καὶ παίδων ἀποβολὴν, καὶ ἄλλα
few both losses and of-children loss and other-things
μυρία, καὶ τὸ πάντων χαλεπώτατον, ὡς οὐ μέχρι
countless and the(-thing) of-all hardest that not until
τῆς παρούσης ὥρας τὰ δεινὰ ἔστη, ἀλλ’ οὕστινας
the present hour the terrors stopped but whomever
βούλεται ὁ γενναιότατος αὐτοκράτωρ φοβῆσαί τε καὶ
wishes the most-noble emperor to-frighten both and
ἐκπλῆξαι, ὁπόταν εἰς λειτουργίας ἐκπέμπῃ, ἐμέ τε τὸν
to-dismay whenever into offices he-sends(-them) me both the
δύστηνον καὶ τὸν Μελικνάσαρ, καὶ ταλάντατον Βουλωτὴν
wretch and — Meliknasar and most-wretched Boulotes
παραβάλλει, ποιῶν τε καὶ ἐξελέγχων κακίας καὶ
he-holds-up making(-us) both and exposing(-us) of-vice and
φοβερισμοῦ καὶ παραδείγματος στήλην· ἐπεὶ οὖν ταῦτα
of-threat and of-example a-pillar since then these-things

πάντα, συναιρομένου θεοῦ καὶ ἀρήγοντος, γενναίως τε καὶ
all helping God and aiding nobly both and
μεθ' ὅσης ἂν εἴπῃ τις μεγαλοψυχίας καὶ ἀνδρίας ἤνεγκα,
with how-much — may-say one magnanimity and courage I-bore
προσδοκῶ, κατὰ τὴν ἐν τοῖς θείοις εὐαγγελίοις φωνὴν,
I-expect according-to the in the divine gospels voice
ἀπόλαυσιν ἀγαθῶν καὶ ἀταλαίπωρον ζωὴν, καὶ τ' ἄλλ'
enjoyment of-goods and untroubled life and the other(-things)
ὅσαπερ ἐπαγγέλλονται τοῖς ἀνδρείως δεινὰ ἐνεγκοῦσι."
as-many-as are-promised to-those bravely terrors having-borne
Τούτων οὕτω παρ' ἐμοῦ λεγομένων, καὶ μήπω πέρας 13
these thus by me being-said and not-yet end
τῆς ἐμῆς διηγήσεως εἰληφυίας, ἦκεν, ὡς ἐκ θαλάμου,
the my narrative having-taken came as from a-bedchamber
ἐκ μίνθου, δρομαῖος καὶ ὁ περιφανὴς πρεσβύτης
from dung running also the illustrious old-man
ἐκεῖνος Ἀντίοχος, μᾶλλον δὲ γυναικομανὴς, καὶ, πρὸ τοῦ
that Antiochos rather but woman-mad and before the
ἀσπάσασθαί με κατὰ τὸ εἰωθὸς καὶ περιβαλεῖν, ἤρετό
to-greet me according-to the custom and to-embrace asked
με πρῶτον· „Τί ποιεῖ, ὦ οὗτος, ἡ ἐμοὶ πεφιλημένη
me first what does O you-there the(-woman) by-me loved
καὶ ἐπέραστος ἐκείνη, ἣν νύκτωρ καὶ μεθ' ἡμέραν διὰ
and lovely that whom by-night and by day in
μνήμης εἶχον, κἂν τῇ Βρεττανίᾳ κἂν τῇ Γαλλίᾳ καὶ
memory I-held both-in — Britain and-in — Gaul and
πανταχοῦ, καὶ ἔτι νῦν ἐς ἀΐδαο ἔχω, ἣν ἐλπίζω
everywhere and still now in Hades I-hold(-her) whom I-hope
καὶ ἐκδέχομαι ὅσαι ὧραι ὧδε ἐλθεῖν; Τοῖς γὰρ πόθῳ
and I-await every hour here to-come to-those for with-longing
κάμνουσι, κατὰ τὸν εἰπόντα, βίος ὅλος ἡμέρα μία·
sick according-to the(-one) having-said life whole a-day one

εἰ δ' ἀπέραντος ὁ αἰὼν, πῶς οἴει με πάσχειν, ξεῖνε;
if and endless the age how do-you-think me to-suffer stranger
Ὅθεν καὶ δέομαί σου, φίλτατε, εἴπερ σώζεται τὸ κάλλος
whence also I-beg you dearest if is-kept the beauty
ἐκείνης καὶ ἡ περιουσία φράσον, πρὸς ἀληθείας. Βούλομαι
her and the property tell for truth I-wish
γὰρ ἅμα τοῦ ἐλθεῖν ὧδ' εὐθὺς ἐκείνην γῆμαι."
for at-once with-the to-come here straightway her to-marry
„Ποίαν, ὦ δύσμορε καὶ γυναικοφρενόληπτε καὶ φῴδων
which(-woman) O ill-fated and woman-crazed and of-blisters
ὄζων," ἔφην ἐγὼ, „λέγεις;"
smelling said I do-you-mean
Καὶ ὃς, „Τὴν πλησίον τῆς πύλης οἰκοῦσαν τοῦ ἁγίου
and he the(-woman) near the gate dwelling of-the holy
μάρτυρος Ῥωμανοῦ, δυστυχέστατε," εἶπε, „τὴν πολὺν οἶνον
martyr Romanos most-unfortunate he-said the(-one) much wine
γεωργουμένην, τὴν σπαθῶσάν τε καὶ κεκοισυρωμένην,
producing the(-one) squandering both and dolled-up
καὶ ἄντικρυς ὡς ἐξ ἀνατολῆς λάμπουσαν, Ἀνατολικήν."
and straight as from the-east shining Anatolike
„Τὸ μὲν κάλλος," ἔφην, „ἐκείνης, ὦ γυναικομανὲς, ὡς
the indeed beauty I-said her O woman-mad like
ἠρινὸν ἀπερρύη κρίνον, ὁ δ' ὅλβος ἅπας διεφθάρη ὑπὸ
a-spring has-withered lily the and wealth all was-destroyed by
τοῦ ὡς ἐκ νεκάδων φθεγγομένου υἱοῦ αὐτῆς, τοῦ
the as from the-heaps-of-dead speaking son her the(-one)
τὰς φρένας ἐν πτέρναις ἔχοντος, Ἀνατολίου."
the wits in heels having Anatolios
— „Παπαί!" εἶπεν ὁ ἐρωτομανής· „ὁ θειότατός μοι κεκώλυκε
alas said the love-mad(-one) the most-divine me has-prevented
βασιλεὺς τοῦ μὴ γῆμαί με ταύτην. Διάτοι γε τοῦτο,
emperor from-the not to-marry me her because — this

καθώσπερ ἡ τύχη τῆς τοιαύτης εὐδαιμονίας ἐμὲ κεκώλυκεν,
just-as the fortune of-the such happiness me has-barred
οὕτως ἐλπίζω καὶ τὰ τῶν Ῥωμαίων γενέσθαι πράγματα.“
so I-expect also the of-the Romans to-fare affairs
Κἀγὼ εἶπον· „Ὦ καταγέλαστε, ἔτι γε διὰ μνήμης ἐν ᾅδου
and-I said O ridiculous-one still — in memory in Hades
γυναῖκα ἔχεις, τριπέμπελος ὤν, καὶ ταῦτα τοῦ Χάρωνος
a-woman you-hold a-dotard being and that — Charon
τὸ ξύμβολον δεδωκότος σοι; ἢ ἐπελάθου ὡς θυγατέρας
the fare having-given you or have-you-forgotten that daughters
καὶ παῖδα ἔχεις τὸν Κακοαλέξιον, φορολόγον τε ὄντα
and a-son you-have — Kakoalexios a-tax-gatherer both being
δεινὸν καὶ ἔμπειρον ἐν λειτουργείοις, καὶ πρὸς τούτοις
clever and skilled in offices and besides these
φῶρά τε καὶ κυμινοπρίστην.“
a-thief both and a-cumin-splitter
Ἀναπολήσας οὖν κατὰ νοῦν καὶ μνησθεὶς ἔφη· „Ναί.
having-pondered then in mind and having-remembered he-said yes
Ἀλλὰ διόπερ οὐχ εὑρίσκεται εἰς ἣν ἤμην ἔγωγε ὑπηρεσίαν
but because not is-found in which I-was I service
καὶ ὁ τοιοῦτος, οὐμενοῦν φιλῶ αὐτὸν οὐδὲ τούτου γε
also the such(-one) by-no-means I-love him nor him —
μέμνημαι. Λυσιτελέστερον γὰρ ἦν ἂν αὐτῷ μεθ’
remember more-profitable for it-would-have-been — for-him with
ᾧ συναναστρεφόμην καὶ τοῦτον συναναστρέφεσθαι, ἢ
whom I-associated also him to-associate than
φορολογεῖν καὶ λεπτολογεῖν οὕτω μανικῶς μεθ’ ὧν
to-gather-taxes and to-haggle so madly with whom
ἐξυπηρετεῖν εἵλετο. Εἴπερ οὖν ὡς φὼρ φωραθείη
to-serve he-chose if then as a-thief he-should-be-caught
δέδοικα μὴ τὰ ὅμοιά σοι δεινὰ κἀκείνῳ γενήσεται.“
I-fear lest the like to-you terrors to-him-too will-happen

14 Σὺν τούτῳ ἦκεν ἐκ γαλαξίου πόλου καὶ ὁ τὰς αἶγας
with this came from the-milky pole also the(-one) the goats
πρότερον Μελγουζὴς ἀμέλγων περὶ τῶν υἱῶν ἐρωτήσων,
formerly Melgouzes milking about the sons going-to-ask
εἰ ἄρ' ὠτακουσταὶ γεγόνασι καὶ οὗτοι, ὥσπερ ἦν
whether then eavesdroppers have-become also they as was
κἀκεῖνος. Καὶ μετ' αὐτὸν ὁ ἐκ ποταμίων ῥευμάτων Ἰαπετὸς
he-too and after him the from river streams Iapetos
ἐκεῖνος Ποτάμιος, ὁ πρὸς ὕβρεις ῥήτωρ δεινὸς, πρός τε
that Potamios the at insults orator clever for both
τὸ λέγειν πρός τε τὸ γράφειν, ἦκε βουλόμενος καὶ οὗτος
the to-speak for and the to-write came wishing also he
μαθεῖν, περί τε τοῦ δυτικοῦ παιδαρίου, τοῦ τὰς αἰσθήσεις
to-learn about both the western lad the(-one) the senses
μεμυκότος Καμύτζη, εἰ ἄρα γε καὶ ἔτι δρωπακίζεται,
having-shut Kamytzes whether then — also still depilates-himself
καὶ περὶ τοῦ κοκκίνου χαρχαρόδοντος Χαρσιανίτου, τοῦ
and about the red jagged-toothed Charsianites the
ἀκολάστου τε καὶ οἰνόφλυγος, εἰ ἔτι καὶ νῦν παλλακὴν
licentious both and wine-bibbing whether still even now a-concubine
ἔχει, καὶ εἰ τὸν ἄκρατον ἐκροφᾷ ὥσπερ πρότερον ἔσπα.
he-has and whether the neat-wine he-gulps as before he-drank
Σὺν τούτῳ ἤλυθεν ὁ Κλαυδιώτης ἐκεῖνος ὁ χοίρων
with this came — Claudiotes that the of-pigs
σούπασις, κατὰ Παδιάτην, βεβαμμένας καὶ τὰς τοῦ
soupasis according-to Padiates dyed both the of-the
πώγωνος καὶ τῆς κεφαλῆς ἔχων τρίχας ἐκ κοράκων ὠῶν·
beard and of-the head having hairs with ravens' eggs
φασὶ γὰρ οἱ ταύτας βάπτοντες, μετὰ κοράκων βάπτειν
say for the(-ones) them dyeing with ravens' to-dye
ὠῶν μελανὰς, ὡς ἐκ κογχύλης πορφύραν. Πρὸ τοῦ
eggs black as from shellfish purple before the

ἀσπάσασθαί με οὖν καὶ περιβαλεῖν, τάδ' ἔλεξε σπουδάζων
to-greet me then and to-embrace this he-said being-serious
μᾶλλον ἢ παίζων· „Οὐκ ἔλεγον, ὦ μυρωτικὲ σύντεκνε, ὡς
rather than joking not did-I-say O anointing co-godfather that
πᾶν ὅσονπερ ποιεῖ ὁ εὐεργετικώτατος Ζωσιμᾶς πρὸς τὸν
all that does the most-beneficent Zosimas toward the
ἄστατον καὶ κατάπτυστόν μοι υἱὸν Αἰτίνην, χαόνειν αὐτὸ, ὡς
unstable and despicable my son Aitines to-lose it as
εἰς βυθὸν ῥίπτων; οὗτος γὰρ ἐς ὕστερον παλινδρομήσειεν ἂν
into the-deep throwing he for in the-end would-run-back —
πρὸς Ἰσμαηλίτας· οὐδεὶς γὰρ περιτετμημένος ἀκροβυστίαν
to the-Ishmaelites no-one for circumcised foreskin
τὸ πάγιον ἔχει καὶ ἀσφαλὲς πρός τε θεὸν πρός τε
the firmness has and steadfastness toward both God toward and
βασιλέα, ἀλλ' ἐς ἀεὶ διὰ μνήμης τὰ τοῦ Μωάμεθ καὶ
emperor but for ever in memory the(-ways) — of-Muhammad and
ἀῤῥενομανίας καὶ ἄλλης ἀσελγοῦς πράξεως ἔχει, ὥσπερ
of-pederasty and other lewd practice he-holds as
ἔγωγε διηνεκῶς διατρίβων ἐν Λήμνῳ εἶχον."
I continually living in Lemnos held
„Ναὶ," εἶπον. „Τοιαῦτα μὲν ἔλεγες· πλὴν δ' ᾤμην ἐκ
yes I-said such-things indeed you-said but — I-thought from
φθόνου σε λέγειν ταῦτα."
envy you to-say these-things
Τούτων ὕστατος ἦκεν, ὡς ἀσπὶς βύων τὰ ὦτα, ἐκεῖνος
of-these last came like an-asp stopping the ears that
ὁ Ἀσπιέταος, ὁ λόγοις μὲν ἡδυεπὴς, ἔργοις δ'
— Aspietaos the(-one) in-words indeed sweet-spoken in-deeds but
ὥσπερ ἀσπὶς δάκνων, ὑφ' οὗ καὶ αὐτὸς δηχθεὶς, μέχρι
like an-asp biting by whom also I-myself bitten until
τοῦ νῦν θανατῶ. Λέγεται γὰρ ὡς ὁ ὑπὸ θηρίου
the now am-at-death's-door it-is-said for that the(-one) by a-beast

δηχθεὶς ἀλεξιτήριον ἂν ἐθεράπευσε φάρμακον, ὁ δ'
bitten an-antidote — would-heal drug the(-one) but
ὑπ' ἀνθρώπων φαύλων, οὐδὲ εἰπεῖν ἔστιν ὅσοι
by men base not-even to-say is-it-possible how-many
ἀπολώλασι, καὶ πόλεις πᾶσαι καὶ ἰδιῶται καὶ νῆσοι καὶ
have-perished both cities all and private-men and islands and
βασιλεῖς. Μακρόθεν οὖν με ὡς ἑώρακε, βοῶν ἔλεγε· „Τῶν
emperors from-afar then me when he-saw shouting said the
φλωρίων οὐκ ἐπελαθόμην τῶν ἐν τῇ Γαλλίᾳ, ἅπερ
florins not I-have-forgotten the(-ones) in — Gaul which
ἠδίκηκε καθαρπάσας ὁ τετρυχωμένος καὶ δίκην Ἡφαίστου
wronged(-me) having-snatched the worn-out and like Hephaestus
βαδίζων ἀσταφὶς Σταφυδάκης· ἀλλὰ τούτων μέμνημαι καὶ
walking raisin Staphydakes but them I-remember and
μεμνήσομαι, κἂν πίω κἂν οὐ πίω τὸ τῆς λήθης ὕδωρ. Καὶ
will-remember whether I-drink or not drink the of-the forgetfulness water and
γὰρ, ὅταν εἰς τοῦτον ἥξῃ τὸν χῶρον, δρομαῖος ἀπελθὼν
for when to this he-comes the region running having-gone
εἰς τὸν Μίνω, ἐγκαλέσαιμι ἂν τοῦτόν γε περὶ τούτων."
to — Minos I-would-accuse — him — about them
15 Μετ' αὐτὸν ἦκε καὶ ὁ ἐκ Λατίνων Βαρθολομαῖος
after him came also the from the-Latins Bartholomaios
Ντεαλαγάσκος ἐκεῖνος καὶ λατινικῶς με προσαγορεύσας,
de-la-Gasco that and in-Latin me having-addressed
„Μπεβένια μισέ," μειδιῶν ἤρετο· „τί πράττει, ὦ ἐπέραστε,
welcome messer smiling asked how fares O lovely-one
ὁ ἐμὸς μὲν υἱὸς, σὸς δὲ ἑταῖρος ἐν ταῖς αὐλαῖς ταῖς
the my indeed son your and comrade in the courts the
βασιλικαῖς; ἆρ' εὑρίσκεται καὶ ἔτι ἐν ταῖς τοῦ ἅλατος
imperial — is-he-found also still in the of-the salt

λειτουργίαις ὡς πρότερον; ἢ λόγων μόνον καὶ μηνυμάτων
offices as before or of-words only and messages
διαπορθμεύς ἐστι Λατίνων καὶ Γραικῶν;“
ferryman is-he of-Latins and Greeks
Κἀγὼ μόλις ἀναγνωρίσας τὸν ἄνδρα, κεκαρμένην γὰρ εἶχε
and-I scarcely having-recognized the man shorn for he-had
καὶ τὴν ὑπήνην καὶ τὴν κεφαλήν, „Ἑκάτερ’,“ εἶπον, „καλῶς
both the beard and the head both I-said well
αὐτὸς πράττει, καθηγητὰ εὐγενέστατε. Πλὴν ὑπόκειται
he fares master most-noble but he-is-subject
μόνον τισὶ λογισμοῖς τῶν τοῦ ἅλατος καταστίχων.“
only to-some audits of-the of-the salt registers
Ὁ δὲ κινήσας τὴν κεφαλήν, καὶ τῇ παλάμῃ τῇ ἑτέρᾳ
he and having-shaken the head and with-the palm the other
παλάμην κρούσας, καὶ βύθιον στενάξας, ἤρετο· „Καὶ τίς
palm having-struck and deep having-groaned asked and who
ἐστιν ὁ τοὺς λογισμοὺς τῶν Ῥωμαίων ποιῶν νῦν,
is the(-one) the audits of-the Romans making now
καὶ ὁ τοῦτον λογίσασθαι ὀφείλων;“
and the(-one) him to-audit bound
„Οὐκ οἶσθα,“ ἔφην, „τὸν ἐκ Βαβυλῶνος ἐλθόντα
not do-you-know I-said the(-one) from Babylon having-come
τότε ἐν τῇ Χρυσῇ, καὶ κρινόμενον μετὰ τοῦ Ἰαπετοῦ
then in the Golden(-Gate) and being-tried with — Iapetos
Πελοποννησίου ἐκείνου ἀσόφου Σοφιανοῦ περὶ τῶν ἐς
Peloponnesian that unwise Sophianos about the to
Ἀλεξάνδρειαν πεμφθέντων βασιλικῶν ξύλων;“
Alexandria sent imperial timbers
— „Τὸν ψωριῶντα λέγεις Μισαὴλ Μουσκαράνον, τὸν
the mangy do-you-mean Misael Mouskaranos the
διαβολέα, τὸν κατάπτυστον καὶ ὕφαλον, καὶ λωποδύτην,
slanderer the despicable and sunken-reef and thief

τὸν οἰόμενον εἰδέναι τά τε ὄντα τά τ'
the(-one) thinking to-know the(-things) both being the(-things) and
ἐσόμενα, πρό τ' ἐόντα, πλὴν δ' ἀναιδείας ὄντα οὐδὲν,
to-be before and being but — of-shamelessness being nothing
τὸν ῥαμπλιστὴν, καὶ σολοικιστὴν, καὶ λατινόφρονα, τὸν
the raver and solecist and Latin-minded the(-one)
τὴν ἀκροβυστίαν περιτετμημένον, τὸν οὐδὲ πρὸς θεὸν
the foreskin circumcised the(-one) neither toward God
τὸν ἐν τριάδι ὑμνούμενον, οὐδ' εἰς βασιλέα πίστιν
the(-one) in trinity hymned nor toward emperor faith
ἀκλόνητον ἔχοντα, τὸν πᾶσι τοῖς ἄλλοις αὐτοῦ φίλοις
unshakable having the(-one) all the other his friends
οὐ κατ' ἀλήθειαν, ἀλλὰ πρὸς χάριν καὶ δόλους καὶ
not in truth but for favor and guile and
ἀπάτην, φιλοῦντα; Τουτονὶ τὸν παμμίαρον καὶ παράληρον
deceit loving this the all-foul and driveling
καὶ παραπλῆγα καὶ ἀκόλαστον φὴς, ὅτι βούλεται
and crazed and licentious do-you-say that wishes
λογίσασθαι τὸν ἐμὸν υἱὸν φίλτατον;"
to-audit the my son dearest
Καὶ „Ἐκεῖνον," φημὶ, „τὸν τριβολαῖον, μᾶλλον δὲ τὸν
and him I-say the caltrop-man rather but the
τριωβολιμαῖον."
three-obol-man
Καὶ ὃς, λαβόμενός μου τῆς χειρὸς, ὑποτρέμων φησίν·
and he having-taken my the hand trembling says
„Ἐγὼ ἀκήκοα παρὰ τοῦ χρηστοῦ Ὁλοβόλου, ὅτι
I have-heard from the good Holobolos that
παλινδρομῆσαι βούλοιο ἐν τῷ βίῳ· καὶ εἴπερ οὕτως ἔχει,
to-run-back you-wish to the life and if so it-is
ὡς ἀκήκοα, ἀνάμνησον τὸν γενναιότατον αὐτοκράτορα
as I-have-heard remind the most-noble emperor

ἐξ ἐμοῦ κρύφα τάδε· ὡς οὐ δεῖ τοῦτον τὸν μιαρὸν
from me secretly this that not it-is-needful this the foul
καὶ ἀκάθαρτον, καὶ λατινόφρονα καὶ συμβολομάχον,
and unclean and Latin-minded and creed-fighting
Ἰσκαριώτην μᾶλλον ἢ Μουσκαράνον, πρεσβευτὴν τῷ
Iscariot rather than Mouskaranos as-envoy to-the
τοῦ Γαλατᾶ ποτεστάτῳ πέμπειν. Ἦ μὲν ὡς ἀλοκόρπον
— of-Galata podestà to-send truly indeed as a-sea-scorpion
δενδίω, νῦν μὲν τῇ τούτου συμβουλῇ τὴν βασιλικὴν
I-dread now indeed by-the his counsel the imperial
σημαίαν ὁ ποτεστάτος ἀναιδῶς χαμαὶ ἔῤῥιψε· κἀκ
banner the podestà shamelessly to-the-ground threw and-from
τοῦ παραυτίκα μετακληθεὶς, καὶ ὡς ἐκ μέθης ἀνανήψας,
the instant summoned and as from drunkenness having-sobered
ὡς τὸ πρότερον αὐτὴν ἔστησε, μετὰ πομπῆς θαυμαστῆς καὶ
as the before it set-up with procession wondrous and
δόξης ὅτι πολλῆς. Εἴπερ οὖν οὐδὲν παραπέμψει τοῦτον
glory as-much as-possible if then in-no-way he-will-send-off him
ἐς κόρακας, ἐς αὔριον πολλὰ δεινὰ καὶ μεγάλα τῇ βασιλίδι
to the-crows by tomorrow many terrors and great on-the queen
τῶν πόλεων ἐργάσεται ὁ τοιοῦτος, τῇ συμβουλίᾳ τοῦ
of-the cities will-work the such(-man) by-the counsel of-the
πολυμηχάνου καὶ παλαμναίου καὶ ῥεραφανιδωμένου τοῦδε.
crafty and murderous and radished this(-man)
Αὐτὸς γάρ ἐστιν ὁ τῶν ζιζανίων σπορεὺς τῆς τοῦ θεοῦ
he for is the of-the tares sower of-the — of-God
μεγάλης ἐκκλησίας· αὐτός ἐστιν ὁ τὴν θρυλλουμένην
great church he is the(-one) the famous
τῶν Ῥωμαίων νῆσον Θᾶσον ταῖς ξυμβουλαῖς καὶ
of-the Romans island Thasos by-the counsels and

συνεχέσι γραφαῖς καταπείσας τὸν ἐκ θυγατρὸς κηδεστὴν,
continual letters having-persuaded the by daughter in-law
δυστυχέστατον Ῥαούλιον Μύρμηκα, ὥστε πρίασθαι.“
most-unfortunate Raoul Myrmex so-as to-buy(-it)

V · THE WAY BACK

Holobolos leads Mazaris to a grove where birds sing, and the Lampadarios sings and then complains of his two sons, who have spurned his music: the elder has turned monk and keeps his vices, the younger sings drunk in taverns and refuses the emperor. Holobolos, tired of the tale, tells Mazaris to slip away by the gully back to life, sends greetings to the emperor's uncle Asan, and bids him tell no one about Holobolos, since envy rules Hades as it rules life. Mazaris ends by saying he wrote this to teach more than to amuse.

16 Τούτου τοίνυν οὑτωσὶ πρός με διηγησαμένου, ὁ χρηστὸς
he then thus to me having-related the good
Ὁλόβολος, εὐθὺς ἀνέστη, καὶ, τῆς δεξιᾶς λαβόμενος, ἄγει
Holobolos at-once rose and the right(-hand) having-taken leads
με ἀπωτέρω, ἐν ᾧ πτελέαι μὲν ὑψίκομοι, πάμπολλοι
me further-off where — elms indeed high-leaved very-many
δὲ πεφύκασι πλάτανοι, ἐφ' οἷς καὶ καθήμενα ᾠδικὰ
and have-grown plane-trees on which also sitting songful
στρουθία ᾖδον ἡδέως μάλα γε καὶ ποικίλως, καὶ πρὸς
sparrows sang sweetly very — and variously and besides
τοῖς εἰρημένοις, „Ὦ φίλτατε,“ μόνον ἔλεξεν.
the(-things) said O dearest only said
Εἶτα μετὰ τὴν ᾠδὴν τῶν τοιούτων στρουθίων ὕστατος
then after the song of-the such sparrows last
ἐλθὼν καὶ ὁ τῆς μουσικῆς κορυφαῖος Λαμπαδάριος
having-come also the of-the music leader Lampadarios

ἐκεῖνος, φέρων ἐν τῇ χειρὶ λαμπάδα ἡμμένην, πρῶτα
that bearing in the hand a-torch lit first
μετὰ μέλους ᾖσεν ᾠδὴν τὴν ἐκ νεκάδων,
with melody sang a-song the(-one) from the-heaps-of-dead

σύντρομον ᾅδης ἀφῆκε Μάζαριν,
trembling Hades let-go Mazaris

ὥσπερ εἰώθει λέγειν ἐν βίῳ μοι. Ἔπειτ᾽ ἤρετο· „Πῶς
as he-was-wont to-say in life to-me then asked how
ἔχουσιν οἱ ταλάντατοι καὶ τετυφωμένοι καὶ τρισάθλιοί μου
are the most-wretched and deluded and thrice-wretched my
υἱοὶ, οἱ τὴν πατρικὴν μὲν ἐξαρνησάμενοι κλῆσίν τε καὶ
sons the(-ones) the paternal indeed having-disowned name both and
ἐπιστήμην, τὴν δὲ μητρικὴν ἀεὶ ἀσπαζόμενοι; πρὸς φιλίας,
science the but maternal always embracing by friendship
φράσον μοι τὴν αὐτῶν καὶ πολιτείαν καὶ διατριβὴν τὴν ἐν
tell me the their both conduct and way-of-life the in
βίῳ. Πολλοὶ γὰρ τῶν ἀπὸ βίου ἀφικνουμένων ἐτάραξάν
life many for of-the(-ones) from life arriving troubled
μου τὴν ψυχὴν, καὶ τὸν λογισμὸν συνέχεον, λέγοντες ὡς ὁ
my the soul and the reason confounded saying that the
μὲν πρῶτος, ὁ παρὰ τῆς μητρὸς κληθεὶς Λήσκαρις,
indeed first the(-one) after the mother named Laskaris
τὸν μονήρη γε τάχα βίον ἠσπάσατο, καὶ τὴν κλῆσιν
the solitary — perhaps life has-embraced and the name
ἀμείψας γέγονε ναζιραῖος, τὴν δὲ ἑταίραν ἐκείνην τὴν
having-changed has-become a-nazirite the but courtesan that the
διεσπεκλωμένην, τὴν ἐκ Σκυθῶν, τὴν ἐκ παιδιόθεν
spread-about the(-one) from Scythians the(-one) from childhood
συγκυλιομένην, οὐκ ἠρνήσατο, ἀλλ᾽ ὥσπερ λεπὰς τῷ
wallowing-with(-him) not he-disowned but like a-limpet to-the

τοιούτῳ μιαρῷ γραϊδίῳ προσκολλᾶται, καὶ ἐν ἀγορᾷ, καὶ ἐν
such foul old-woman clings both in market and at
πανηγύρεσι, καὶ ἐν τριόδοις, καὶ ἐφ' ἑορταῖς, ἕπεται ταύτῃ
fairs and at crossroads and at feasts follows her
γρυλλίζων μᾶλλον, ἢ προοδοποιῶν· καὶ οὐκ αἰσχύνεται
grunting rather than leading-the-way and not is-ashamed
ὁ τρισάθλιος, μᾶλλον δὲ φρενόληπτος, οὔτε τὸ σχῆμα
the thrice-wretched rather but mind-possessed neither the habit
ὃ ἐνεδύσατο, οὔτε τὸ τῆς μητρὸς γένος· ἀλλὰ φέρει τὸ
which he-put-on nor the of-the mother family but bears the
σχῆμα τοῦτο παραφρονῶν, ὥσπερ λεοντῆν ὄνος· ὁ δὲ
habit this being-mad as the-lion-skin an-ass the and
δεύτερος ὁ Δρακοντώνυμος, ὁ παρωνύμως Φυσίγναθος
second — Drakontonymos the(-one) by-surname Physignathos
κεκλημένος, τὸν ἀοιδὸν Πῶλον ἰδὼν ἐκ Βλαχίας
called the singer Polos having-seen from Wallachia
ἐπανήκοντα μεθ' ἱκανοῦ ἀργυρίου πρὸς τὴν ἐνεγκαμένην,
returning with much silver to the(-land) having-borne(-him)
ὥρμησε καὶ αὐτὸς ἀπελθεῖν ἐκεῖσε, ὥστε πλουτῆσαι, καὶ
set-out also himself to-go there so-as to-grow-rich and
τῆς πατρίδος ἀπάρας, ἐναυάγησε, κἀκεῖθεν ἐπανήκων,
from-the homeland having-set-sail was-shipwrecked and-from-there returning
διατρίβει διακενῆς ἐν ταῖς αὐλαῖς ταῖς βασιλικαῖς."
lingers idly in the courts the imperial
„Οὕτως ἔχει τὰ κατ' ἐκείνους," εἶπον αὐτῷ, „ὡς
so stand the(-things) about them I-said to-him as
λέγεις, ἀνδρῶν μουσικώτατε· ὁ γὰρ τὴν τούτων
you-say of-men most-musical the(-one) for the their
σοι πολιτείαν διηγησάμενος, καλῶς διεξῆλθε. Καί σε
to-you conduct having-related well went-through(-it) and you
παρακαλῶ μή με εἰς μακρολογίας καὶ ἐξετάσεις ἐμβάλῃς,
I-beg not me into long-speeches and inquiries throw

ὥστε λέγειν καὶ διεξέρχεσθαι τὰ ἐκείνων· ὁρᾷς γὰρ
so-as to-tell and to-go-through the(-things) of-them you-see for
ὅτι πολλοί μοι ἐπέθεντο ἐρωτῶντες, καὶ ἀλγῶ τὴν
that many on-me have-set questioning and I-ache in-the
κεφαλὴν τοῦ λέγειν καὶ τοῦ ἀκούειν.“
head from-the to-tell and the to-hear
— „Ἐπειδήπερ σὺ μέν,“ ἔφη ἐκεῖνος πρός με, „πρὸς
since you indeed said he to me for
τὸ διηγεῖσθαι καὶ λέγειν ἀηδῶς ἔχεις, ἔγωγε δὲ
the to-relate and to-tell distastefully are-disposed I but
κατεπείγομαι ὑπὸ φίλτρου πρὸς τὸ μαθεῖν, κἂν ἄκουσον,
am-pressed by love for the to-learn at-least hear
δέομαι δή σου, πῶς ἄρα μοι διηγήσατο τὰ ἐκείνων
I-beg indeed you how then to-me related the(-things) of-them
ἡ τῆς παλαιᾶς ἄτης ἀπώλεια καὶ πρῶτος ἱερεύς.“
the of-the old ruin perdition and first priest
„Εἰπὲ ταῦτα;“ ἦν δ’ ἐγὼ πρὸς αὐτόν· „μόνον βραχέως·
tell these-things said and I to him only briefly
ὁρᾷς γὰρ, ὅτι κατεπείγομαι.“
you-see for that I-am-pressed
— „Οὕτω ποιήσω,“ ἔφη ἐκεῖνος. „Ἤδη δὲ μόνον ἄκουε. 17
so I-will-do said he now and only hear
Διηγήσατό μοι ὁ τριπέμπελος ἐκεῖνος καὶ κεκυφὼς, ἡ
related to-me the dotard that and stooped the
εἰρημένη ἀπώλεια, ὡς ἦκεν ἐκ βίου ἐς ᾅδου ἄκων καὶ
aforesaid perdition when he-came from life to Hades unwilling and
μὴ βουλόμενος, ὅτι ὁ μὲν πρεσβύτερός μοι υἱὸς κείρας
not wishing that the indeed elder my son having-shorn
τὴν κόμην, καὶ κίδαριν καὶ μανδύαν ἐπενδυσάμενος, πᾶσαν
the hair and a-cap and a-mantle having-put-on all
παιδιὰν καὶ ἀμαθίαν, ἀβελτηρίαν τε καὶ νωθρίαν, ἀλλὰ δὴ
childishness and ignorance stupidity both and sloth but indeed

καὶ τύφον, καὶ ἄλλην πᾶσαν ἀκολασίαν καὶ ἀσέλγειαν, ἅπερ
also conceit and other all licentiousness and lewdness which
παιδόθεν ἐξήσκησεν, ἐπεκάλυψεν ὁ μανδύας, καὶ γέγονεν
from-childhood he-practiced covered the mantle and he-has-become
ἑλκεχίτων, καὶ διατρίβει ἐν τῇ τοῦ Εὐεργέτου μονῇ,
a-trailing-robed(-monk) and lives in the of-the Benefactor monastery
ψευδοευλάβειαν τάχα δεικνύων, τῆς δὲ ἀφροδίτης τυγχάνων
false-piety perhaps showing of-the but love being
φίλος· ὁ δὲ νεώτερος τὰ τῶν νεωτέρων καὶ ἀκολάστων
friend the and younger the of-the young and licentious
καὶ τετυφωμένων καὶ εὐρυπρώκτων καὶ μέγα οἰομένων,
and deluded and wide-assed and great(-things) thinking
μᾶλλον δὲ μαινομένων καὶ φρενολήπτων, ἔργα ποιεῖ.
rather but raving and mind-possessed deeds does
Παιδευθεὶς γὰρ παρ᾽ ἐμοῦ τὴν τῆς μουσικῆς ἐπιστήμης
taught for by me the of-the music science
ἄκρως, ὥστε ζῆν ἐντίμως καὶ ἀφθόνως, ὥσπερ ἄρ᾽ ἔζων
consummately so-as to-live honorably and abundantly as then lived
καὶ αὐτὸς ἐν βίῳ, τὴν τοιαύτην οὐκ ἠσπάσατο πολιτείαν
also I-myself in life the such not embraced conduct
τε καὶ ἐπιστήμην, ὥσπερ ἐγὼ, ἀλλ᾽ ἑτέραν βδελυρὰν καὶ
both and science as I but another loathsome and
ἀπαίδευτον, ἄτιμόν τε καὶ ἄδοξον, καὶ ἄλλως ἀκερδῆ
uneducated dishonorable both and inglorious and otherwise profitless
καὶ μεμιασμένην. Οὐχ αἱρεῖται γὰρ παρὰ τοῦ εὐαγοῦς καὶ
and defiled not he-chooses for by the holy and
βασιλικοῦ κλήρου καὶ τῆς τοῦ θεοῦ μεγάλης ἐκκλησίας
imperial clergy and of-the — of-God great church
καλεῖσθαι καὶ ὀνομάζεσθαι δομέστικος, ὥστε ᾠδὰς ᾄδειν
to-be-called and to-be-named domestikos so-as songs to-sing
ἐπινικίους καὶ θείας· καὶ μετὰ παίδων καὶ δούλων καὶ
triumphal and divine and with boys and slaves and

μεθυόντων καὶ παραλήρων, ποιούντων τε καὶ πασχόντων,
drunkards and drivelers doing both and suffering
ᾄδειν αἱρεῖται λήρων ᾠδάς. Φείδεται πολλάκις ᾠδὰς
to-sing he-chooses of-nonsense songs he-refrains often songs
ᾆσαι, ἐφ' ἑορταῖς τε καὶ πανηγύρεσιν ἐκκλησίας μέσον·
to-sing at feasts both and festivals of-the-church in-the-midst
καὶ μετὰ μειρακίων ἀκαθάρτων τε καὶ ἀτασθάλων ᾄδει
and with lads unclean both and wicked sings
καὶ χορεύει καὶ φλυαρεῖ, παραπαίων καθάπερ μαινόμενος.
and dances and babbles raving like a-madman
Αἰδεῖται τάχα καὶ ἐρυθριᾷ αἰσχυνόμενος, προσκαλούμενος
he-is-shy perhaps and blushes ashamed summoned
παρὰ τοῦ γενναιοτάτου αὐτοκράτορος ὥστε πρὸς κιθάραν
by the most-noble emperor so-as to the-lyre
ᾆσαι, καὶ μέλος ἐναρμόνιον ἢ τῶν παλαιῶν ἢ τῶν νέων
to-sing and a-song harmonious either of-the old or of-the new
διὰ στόματος εἰπεῖν, καὶ ἀπαναίνεται· καὶ ἐν γωνίαις καὶ
through mouth to-utter and he-refuses and in corners and
τριόδοις, καὶ πανδοχείοις, καὶ καταλύμασιν ἑταιριζομένων
crossroads and inns and lodgings of-whoring
γυναίων, κιθαρίζει, καὶ κορδακίζει, καὶ ἕτερ' ἄττα ἄσεμνα
women he-plays-the-lyre and dances-the-kordax and other things indecent
πράττει λάθρα καὶ μετὰ τοῦ κρύπτεσθαι. Παρακαλεῖται
does secretly and with the to-hide he-is-begged
πολλάκις καὶ ἀναγκάζεται παρὰ τῶν ἐν τέλει καὶ τῶν
often and compelled by the(-ones) in office and the(-ones)
γένει προσηκόντων τῷ βασιλεῖ μέλος ᾆσαι ἐμὸν πόνημα
by-birth related to-the emperor a-song to-sing my work
πρὸς παραμυθίαν καὶ χαρμονὴν βασιλέως ἢ δεσποτῶν,
for solace and delight of-the-emperor or despots
καὶ κρύπτεται ἐν γωνίαις καὶ τῶν ἀνθρώπων ὄπισθεν,
and he-hides in corners and the people behind

καὶ ὡς παιδάριον διαθρύπτεται, καὶ φουμίζει φθεγγόμενος
and like a-little-child plays-coy and lisps uttering
εὐνούχων ὀξύτερον· παρὰ δὲ τριωβολιμαίων καὶ οὐδένων
than-eunuchs shriller by but three-obol-men and nobodies
προσκαλούμενος, ἀνερυθριάστως ᾄδει μεθύων, φθέγγεται
summoned shamelessly sings drunk utters
παραπαίων, ἐμῶν βοᾷ, πέρδων χορεύει, τοὺς ὀφθαλμοὺς
raving vomiting shouts farting dances the eyes
ἐξ οἰνοφλυγίας πελιδνοὺς ἔχων καὶ διαστρόφους ποιῶν
from drunkenness livid having and distorted making(-them)
ὡς ἐξ ἀγχόνης. Διά γε οὖν ταῦτα, κατὰ τὸν
as from strangling because-of — then these-things according-to the
μεγαλοφωνότατον Δαυὶδ, αὐτὸς μὲν λοιμώξειεν ἂν ὡς
loudest-voiced David he indeed would-starve — like
κύων καὶ τὴν πόλιν κυκλώσοι, καὶ τὸ ἱμάτιον αὐτοῦ
a-dog and the city would-go-round and the cloak his
διαῤῥαγήσεται, τὴν δὲ προκοπὴν αὐτοῦ λάβοι ἕτερος, ἀνθ’
will-be-torn the and advancement his may-take another because
ὧν πατρικῶν θεσμῶν, προστάξεών τε καὶ νουθεσιῶν,
of-which paternal ordinances commands both and admonitions
οὐ τετήρηκεν. Ἡ δὲ προμνήστρια, ἥτις με παρεκίνησε
not be-has-kept the and matchmaker who me urged
τὴν αὐτῶν γῆμαι μητέρα, εἴθε παραπεμφθείη ἐν τῷ
the their to-marry mother would-that she-were-sent into the
τοῦ Κερβέρου στόματι.“
— of-Cerberus mouth

18 Ὁ δὲ χρηστὸς ἀγανακτήσας Ὁλόβολος τῆς τούτου μακρᾶς
the and good vexed Holobolos at-the his long
διηγήσεως, πρός με φησίν· „Ὁρᾷς ταυτηνὶ τὴν βαθεῖάν
narrative to me says do-you-see this the deep
τε καὶ ἀλσώδη ῥύακα;“
both and wooded gully

Ἦν δ' ἐγὼ πρὸς αὐτόν· „Ὁρῶ."
said and I to him I-see
— „Ὑποκρίθητι," ἔφη, „ἐς ἀπόπατον ἐν αὐτῇ ἀπελθεῖν σε·
pretend he-said to the-privy in it to-go you
καὶ, μικρὸν ὑποκρυφθεὶς ἐς βίον ταχέως ἄπελθε χαίρων καὶ
and a-little having-hidden to life quickly go rejoicing and
εὐφραινόμενος ἐς μακροὺς τοὺς ἡλίους. Καὶ πρῶτον μὲν
making-merry for long the suns and first indeed
ἐξ ἐμοῦ προσαγόρευσον χαίρων χαίροντα τὸν εὐγενέστατον
from me greet rejoicing rejoicing the most-noble
καὶ πάσης φιλοσοφίας γέμοντα περιπόθητον θεῖον τοῦ
and of-all philosophy full beloved uncle of-the
θειοτάτου καὶ μεγάλου αὐτοκράτορος τὸν Ἀσᾶν· ἔπειτα
most-divine and great emperor — Asan then
μὴ ὀκνήσας εἰπεῖν πρὸς αὐτὸν καὶ τόνδε τὸν λόγον, ὡς·
not having-hesitated to-tell to him also this the word thus
„Οὐκ ἐπελαθόμην, ῥητορικώτατ' ἀνδρῶν, τῶν σῶν χρυσέων
not I-have-forgotten most-eloquent of-men the your golden
ἐπῶν οὐδ' ἐν ᾅδου· ἀλλ' ὥσπερ ἐν ταῖς βασιλικαῖς αὐλαῖς
words not-even in Hades but as in the imperial courts
ἐμεμνήμην καὶ τῷ κρατοῦντι καὶ τοῖς ἑτέροις ἐκοινώνουν
I-remembered and with-the ruler and the others shared
τὰ σὰ ξυγγράμματα ὅσαι ὧραι, οὕτω κἀνταῦθα μέμνημαι·
the your writings every hour so here-too I-remember
καὶ νύκτωρ μὲν διηγοῦμαι πρός τε τὸν μέγαν Πλούτωνα
and by-night indeed I-relate to both the great Pluto
καὶ τὴν Περσεφόνην ἃ περὶ τῆς τῶν κεκοιμημένων
and — Persephone what about the of-the fallen-asleep
ἀναστάσεως διεξῆλθες ἀριδηλότατα· μεθ' ἡμέραν δὲ πρός
resurrection you-expounded most-clearly by day and to
τε τὸν Μίνω καὶ Αἰακὸν καὶ Ῥαδαμάνθιαν μεθ' ἡδονῆς
both — Minos and Aeacus and Rhadamanthys with pleasure

διεξέρχομαι ὅσουσπερ τὸν ἅπαντα τῆς σαυτοῦ ζωῆς χρόνον
I-recount how-many the whole of-the your-own life time
ἀκοπωτί τε καὶ ἀσολοικιστὶ, ἔτι γε μὴν ἀβαρβαριστὶ,
without-toil both and without-solecism still — indeed without-barbarism
νοός τε καὶ σαφηνείας ἄνευ, ἐννέα πρὸς τοῖς ἑξήκοντα
sense both and clarity without nine besides the sixty
λόγους γέγραφας. Καὶ τὸ θεάτρον διὰ τῆς διηγήσεως
speeches you-have-written and the theater through the narrative
ῥητόρων καὶ φιλοσόφων πληρῶ, ὧν ἀκουόντων οἱ
with-orators and philosophers I-fill whom hearing the(-ones)
μὲν πηδῶσιν ὑφ' ἡδονῆς, οἱ δὲ γελῶσι σαρδώνιον,
indeed leap for pleasure the(-ones) and laugh sardonic
ἔνιοι δὲ τὸν ἀέρα πληροῦσι βοῆς, καὶ τὴν Κλωθὼ
some and the air fill with-shouting and — Clotho
καθικετεύουσιν ὡς ἀώρως ἐκκόψαι τὸ νῆμα τοῦ ἀτράκτου
implore to untimely to-cut the thread of-the spindle
τοῦ ἐπὶ σοὶ κεκλωσμένου, πρὸς τὸ ταχέως ἐς τὸν τοῦ
the(-one) for you spun for the quickly to the —
ᾅδου σε χῶρον ἐλθεῖν. Δι' ἐφέσεως γὰρ πάντες ἔχουσι
of-Hades you region to-come with desire for all are
τοῦ θεάσασθαι καὶ ἀπὸ στόματος ἀκοῦσαι τὰ σὰ κατὰ
for-the to-see and from mouth to-hear the your in
σὲ ὡραῖα ῥαψῳδήματα." Ἔπειτα δέ γε τὰ πάνθ'
your(-manner) beautiful rhapsodies then and — the all
οὕτως, ὡς διεταξάμην καὶ συνεβουλευσάμην σοι, ποίησον·
so as I-instructed and counseled you do
καὶ μηδενὶ τὰ κατ' ἐμὲ εἴπῃς, πρὸς φιλίας, ἀλλ' οὕτως,
and to-no-one the(-things) about me say by friendship but so

ὡς ὑπέσχου, φύλαξον. Ἐνταῦθα γὰρ οὐ μόνον ἐξετάζουσι
as you-promised keep(-them) here for not only they-scrutinize
τοὺς ἐν βίῳ εὐδοκιμοῦντας, ἀλλὰ καθ' Ἡσίοδον,
the(-ones) in life prospering but according-to Hesiod

καὶ πτωχὸς πτωχῷ κοτέει καὶ ἀοιδὸς ἀοιδῷ,
and beggar at-beggar is-angry and singer at-singer
καὶ τέκτονι τέκτων.
and at-carpenter carpenter

Καὶ, καθάπερ ἐς τὸν βίον ἄνω ἡ τοῦ πλησίον εὔκλεια
and just-as in the life above the of-the neighbor good-name
δάκνει, κατὰ τὸν εἰπόντα, τοὺς φθονεροὺς, οὕτω
bites according-to the(-one) having-said the envious so
κἀνταῦθα ἐν ᾅδου ἡ τῶν κατὰ θεὸν εὐδοκιμησάντων
here-too in Hades the of-the(-ones) according-to God having-prospered
εὐημερία, ἥ τε δόξα καὶ ἡ λαμπρότης, καὶ ἡ τῶν
prosperity the both glory and the splendor and the of-the
προκειμένων ἀγαθῶν ἀπόλαυσις, περιπείρει τοὺς κατ' ἐμὲ
laid-up goods enjoyment pierces the(-ones) like me
πεπλημμεληκότας· ὅθεν καὶ ἀρχιθύτης ἀρχιθύτῃ φθονεῖ, καὶ
having-offended whence also archpriest at-archpriest envies and
ἀρχιερεὺς ἀρχιερεῖ, καὶ μονάζων μονάζοντι, καὶ σατράπης
bishop at-bishop and monk at-monk and satrap
σατράπῃ, καὶ μεσίας μεσίᾳ, καὶ ἡγεμὼν ἡγεμόνι, καὶ
at-satrap and mediator at-mediator and governor at-governor and
ἄρχων ἄρχοντι, καὶ στρατηγὸς στρατηγῷ, καὶ ναύαρχῳ
archon at-archon and general at-general and at-admiral
ναύαρχος, καὶ κριτῇ δικαστὴς, καὶ ἀπογραφεὺς ἀπογραφεῖ,
admiral and at-judge judge and registrar at-registrar
καὶ γραμματεὺς γραμματεῖ, καὶ ῥήτορι ῥήτωρ, καὶ ἰατρὸς
and secretary at-secretary and at-orator orator and physician

ἰατρῷ, ἔτι τε ἀδελφὸς ἀδελφῷ, καὶ πατρὶ υἱὸς, καὶ, τὸ
at-physician still and brother at-brother and at-father son and the(-thing)
δεινότερον, ποδαλγῷ χειροποδαλγός· καὶ ἁπαξαπλῶς
more-terrible at-gouty-footed gouty-handed-and-footed and in-short
πάντες οὐ μόνον φθονοῦσι, ἀλλὰ καὶ βασκαίνουσι, καὶ
all not only envy but also bewitch and
ἕκαστος ἑκάστῳ δόλους ἀεὶ καὶ συκοφαντίας ῥάπτουσιν
each for-each snares always and false-charges stitch
ὅσαι ὧραι. Διά γε οὖν ταῦτα καὶ νῦν καὶ εἰς τοὺς
every hour because-of — then these-things both now and for the
ἀπεράντους αἰῶνας δίκας δώσουσιν, οἱ μὲν τῷ
endless ages penalties they-will-pay the(-ones) indeed to-the
Κερβέρῳ κυνὶ, οἱ δὲ τῷ ἀσβέστῳ πυρὶ, οἱ δὲ
Cerberus dog the(-ones) and to-the unquenchable fire the(-ones) and
τῷ Ταρτάρῳ, οἱ δὲ τῷ ἰοβόλῳ σκώληκι, οἱ δὲ
— to-Tartarus the(-ones) and to-the venomous worm the(-ones) and
τῷ τῶν ὀδόντων βρυγμῷ, οἱ δ' ἑτέρῳ κολαστηρίῳ
to-the of-the teeth gnashing the(-ones) and to-another punishment
δεινοτέρῳ τε καὶ χαλεπωτέρῳ. Πρὸ τοῦ μαθεῖν οὖν
more-terrible both and harsher before the to-learn then
τούτους καὶ ἀκοῦσαι παρὰ τοῦ μιαροῦ καὶ βδελυγμία,
them and to-hear from the foul and abomination
τοῦ καταπτύστου τε καὶ φονικοῦ Παδιάτου, τοῦ γάμον
the despicable both and murderous Padiates the(-one) marriage
ἀλλότριον διορύξαντος, ὅτιπερ ἁρπαγεὶς ἀωρὶ νυκτῶν
another's having-undermined that snatched untimely of-nights
ἦκες βίᾳ ἐνταῦθα οὕτως ἐκ βίου, πᾶσα ἐν τῇ κοιλάδι
you-came by-force here so from life all in the valley
πληθὺς, ἣν ὁρᾷς, φίλτατε, δρομαῖοι πρὸς σὲ γυμνοί τε
the-multitude which you-see dearest running to you naked both
καὶ ἀπεψωλημένοι ἐλεύσονται, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν
and circumcised will-come and by-night and by day

οὐ παύσονται ἐρωτῶντές τε καὶ διερευνώμενοι τὰ περὶ
not will-cease asking both and searching the(-things) about
τῶν ἄνω ἐς τὸν βίον κατοικούντων, πῶς ἄρ᾽ ἕκαστος
the(-ones) above in the life dwelling how then each
τυγχάνει διατελῶν, καὶ τί πράττει, καὶ εἰς ποίαν εὑρίσκεται
happens to-be-living and what he-does and in what is-found
λειτουργίαν· ἐὰν γὰρ τοῦτο γένηται, ὃ μὴ γένοιτο, τοῦ
office if for this should-happen which not may-happen —
ᾅδου οὐκ ἐξέλθειας ἄν ποτε, ὥσπερ οὐδ᾽ ἔγωγε,
from-Hades not you-would-come-out — ever as not I
μέχρις ἂν τῆς τελευταίας ἐκείνης ἀκούσειας σάλπιγγος.“
until — the last that you-should-hear trumpet
Ταῦτ᾽ ἀντὶ δακρύων μᾶλλον, ὦ παρόντες, ἢ γέλωτος,
these-things for tears rather O ones-present than laughter
ὡς οἷόν τε, ἁρπαγεὶς, παιδείας χάριν ἢ παιδιᾶς
as possible — snatched of-instruction for-the-sake than of-sport
γέγραφα, σπουδάζων μᾶλλον ἢ παίζων.
I-have-written in-earnest rather than joking

VI · THE DREAM

Back in the Peloponnese, Mazaris dreams of Holobolos and reproaches him for the advice that sent him there, to poverty. Holobolos admits he was deceived and asks for a full account of the Peloponnesians, sent by way of Taenarum; he advises Mazaris to wait, and failing the despot, to go to Crete or Cephalonia.

„Τί τοῦτο, πολυμήχαν᾽ Ὁλόβολε; ἆρά με καὶ ἐν ᾅδου 19
they-go-by the little-bed said and I if true are
ταῦτα, ὦ αἰθέριοι, οὐκ ἄν ποτε ἀσφαλῶς τὰ μέλλοντα
these-things O ethereal-ones not — ever safely the(-things) coming
ἐξιχνεύσητε· ἀλλὰ καταπεισθέντες ὑπ’ αὐτῶν ληρήσετε
you-would-track-out but having-been-persuaded by them you-will-babble
τὰ μὴ ὄντα, μηδὲ γενησόμενα. ἀλλὰ ταῦτα μὲν οὐκ
the(-things) not being nor going-to-be but these-things indeed not
οἶδ’ ὅπως ληρεῖτε, ὀνείροις πιστεύοντες, καὶ τὰ κάλλιστα
I-know how you-babble in-dreams trusting and the finest(-things)
βδελύττεσθε, τοῖς δὲ πονηροῖς ἥδεσθε, μηδὲν ὀνούμενοι
you-loathe in-the and wicked(-things) you-delight not-at-all profiting
τοῦ βδελύγματος. ὥστε ἐάσετε τὰς ἀλλοκότους ταύτας
from-the abomination so-that you-will-let-go the strange these
φαντασίας, καὶ τὰ πονηρὰ βουλεύματα, καὶ μαντεύματα,
fancies and the wicked counsels and oracles
μή που θεὸς ὑμᾶς ἐς κόρακας βάλοι, διὰ τὸ τῇ
lest perhaps God you to the-crows should-cast because-of the the
πατρίδι ἐπαρᾶσθαι, καὶ λόγους κιβδήλους ἐπιφημίζειν.”
fatherland to-curse and words counterfeit spreading-about
Οὗτοι δὲ ἅπαντες ἕνα θυμὸν ἔχοντες ἐμοὶ πολλὰ κζ′
these and all one spirit having to-me much
κατεμέμφοντο. καὶ εἰ βούλει, καὶ τά γε προστιθῶ σοι,
blamed and if you-wish also the(-things) — I-add to-you
ἅτινά με καὶ ὡς στήλην ἄναυδον ἔθηκαν, μέχρις ἂν ἡ χρηστή
which me also like a-pillar speechless made until — the good
σου λαλιὰ λιθούμενον ἀνέλυσε, καὶ ἄνθρωπον ἀπεκατέστησε.
your talk turned-to-stone loosed and a-man restored

TRIEPHON Σίγα, ὦ Κριτία, καὶ μὴ ὑπερεκτείνῃς τοὺς ὕθλους.
hush O Critias and not stretch-out the drivel
ὁρᾷς γὰρ ὡς ἐξώγκωταί μου ἡ νηδὺς, καὶ ὥσπερ
you-see for how is-swollen my the belly and as-if
κυοφορῶ· ἐδήχθην γὰρ τοῖς παρὰ σοῦ λόγοις, ὡς ὑπὸ
I-am-pregnant I-was-bitten for by-the from you words as by
κυνὸς λυττῶντος· καὶ εἰ μὴ φάρμακον ληθεδανὸν ἐμπιὼν
a-dog mad and if not a-drug of-forgetfulness having-drunk
ἠρεμήσω, αὕτη ἡ μνήμη οἰκουροῦσα ἐν ἐμοὶ μέγα κακὸν
I-shall-be-quiet this the memory keeping-house in me great evil
ἐργάσεται. ὥστε ἔασον τούτους, τὴν εὐχὴν ἀπὸ πατρὸς
will-work so-that let-go these the prayer from the-Father
ἀρξάμενος, καὶ τὴν πολυώνυμον ᾠδὴν ἐς τέλος ἐπιθείς.
having-begun and the many-named hymn to the-end having-set
κη΄ Ἀλλὰ τί τοῦτο; οὐχὶ Κλεόλαος οὗτός ἐστιν, ὁ τοῖς
but what this not Cleolaus this is the(-one) with-the
ποσὶ μακρὰ βιβὰς, σπουδῇ δὲ ἥκει καὶ κατέρχεται; μῶν
feet long striding with-haste and comes and comes-down perhaps
ἐπιφωνήσομεν αὐτῷ;
shall-we-call to-him
CRITIAS Καὶ μάλα.
very much(-so)
TRIEPHON Κλεόλαε, μή τι παραδράμῃς γε ποσὶ, μηδὲ
Cleolaus not at-all run-past — with-feet nor
παρέλθῃς, ἀλλ' ἐλθὲ χαίρων, εἴγε που μῦθον φέρεις.
pass-by but come rejoicing if-indeed perhaps a-tale you-bring
CLEOLAUS Χαίρετ' ἄμφω, ὦ καλὴ ξυνωρίς.
hail both O fine pair

TRIEPHON Τίς ἡ σπουδή; ἀσθμαίνεις γὰρ ἐπιπολύ. μῶν
what the haste you-pant for greatly surely-not
τι καινὸν πέπρακται;
something new has-been-done

CLEOLAUS Πέπτωκεν ὀφρῦς ἡ πάλαι βοωμένη Περσῶν·
has-fallen the-brow the(-one) of-old shouted of-the-Persians
καὶ Σοῦσα κλεινὸν ἄστυ.
and Susa famous city
πέσει δ' ἔτι γε πᾶσα χθὼν Ἀραβίας,
will-fall and still — all land of-Arabia
χειρὶ κρατοῦντος εὐσθενωτάτῳ κράτει.
by-the-hand of-the-ruler with-most-mighty power

CRITIAS Τοῦτ' ἐκεῖνο, ὡς κθ΄
this that how

ἀεὶ τὸ θεῖον οὐκ ἀμελεῖ τῶν ἀγαθῶν,
always the divine not neglects the good
ἀλλ' αὔξει, ἄγον ἐπὶ τὰ κρείττονα.
but increases(-them) leading to the better(-things)

ἡμεῖς δὲ, ὦ Τριεφῶν, τὰ κάλλιστα εὑρηκότες ἐσμέν.
we and O Triephon the finest(-things) having-found are
ἐδυσχέραινον γὰρ ἐν τῇ ἀποβιώσει τί τοῖς τέκνοις
I-was-vexed for at the departing-life what to-the children
καταλιπεῖν ἐπὶ ταῖς διαθήκαις. οἶδας γὰρ τὴν ἐμὴν
to-leave in the wills you-know for the my
πενίαν, ὡς ἐγὼ τὰ σά. τοῦτο ἀρκεῖ τοῖς παισὶν,
poverty as I the(-things) yours this suffices for-the children

αἱ ἡμέραι τοῦ αὐτοκράτορος· πλοῦτος γὰρ ἡμᾶς οὐκ
the days of-the emperor wealth for us not
ἐκλείψει, καὶ ἔθνος ἡμᾶς οὐ καταπτοήσει.
will-fail and nation us not will-terrify
TRIEPHON Κἀγὼ, ὦ Κριτία, ταῦτα καταλείπω τοῖς τέκνοις,
I-too O Critias these-things leave to-the children
ὡς ἴδωσι Βαβυλῶνα ὀλλυμένην, Αἴγυπτον δουλουμένην, τὰ
that they-may-see Babylon perishing Egypt enslaved the
τῶν Περσῶν τέκνα δούλειον ἦμαρ ἄγοντα, τὰς ἐκδρομὰς τῶν
of-the Persians children a-slavish day leading the raids of-the
Σκυθῶν παυομένας, εἴτ' οὖν καὶ ἀνακοπτομένας. ἡμεῖς δὲ
Scythians ceasing or then even beaten-back we and
τὸν ἐν Ἀθήναις Ἄγνωστον ἐφευρόντες, καὶ προσκυνήσαντες,
the in Athens Unknown(-god) having-found and having-worshiped
χεῖρας εἰς οὐρανὸν ἐκτείναντες τούτῳ εὐχαριστήσομεν, ὡς
hands to heaven having-stretched-out him will-thank as
καταξιωθέντες τοιούτου κράτους ὑπήκοοι γενέσθαι· τοὺς
having-been-deemed-worthy-of such power subjects to-become the
δὲ λοιποὺς ληρεῖν ἐάσωμεν, ἀρκεσθέντες ὑπὲρ αὐτῶν εἰπεῖν
and rest to-babble let-us-let having-been-content about them to-say
τὸ, Οὐ φροντὶς Ἱπποκλείδῃ, κατὰ τὴν παροιμίαν.
the(-word) not a-care to-Hippocleides according-to the proverb

THEODORE PRODROMOS

ΒΙΩΝ ΠΡΑΣΙΣ ΠΟΙΗΤΙΚΩΝ ΚΑΙ ΠΟΛΙΤΙΚΩΝ

The Sale of Poetical and Political Lives

Zeus has the market set up and bids Hermes proclaim the sale of poetic and political lives. First comes blind Homer, who answers in his own verses. Hermes praises him as the gods' benefactor, and the buyer quizzes him on meter and blindness. Hermes then commends him as general, archer, cupbearer, physician, and punisher, and he is sold for five talents to Hermagoras the Athenian.

ZEUS Τὸν μὲν τόπον, ὦ Ἑρμῆ, καὶ τὰ βάθρα, καὶ τὴν
the indeed place O Hermes and the benches and the
λοιπὴν τοῦ πωλήτρου διασκευὴν χθὲς εὖ ποιοῦντες
rest of-the selling-place furnishing yesterday well doing
τετεύχαμεν, καὶ οὐκ ἂν δευτέρας ἡμῖν δεήσει
we-have-made-ready and not — a-second for-us will-be-needed
παρασκευῆς. Ναὶ μέντοι οὐδὲ τῷ κήρυκί σοι πολλὰ
preparation yes however nor for-the herald for-you much
βοᾷν πρὸς ἀνάγκης ἔσται, καλέσοντι τοὺς ὠνησομένους.
to-shout of necessity will-it-be going-to-call the(-ones) going-to-buy
Ἀπέχρησε γὰρ αὐτοῖς τὸ χθιζὸν ἐπάγγελμα ἀντὶ τοῦ
sufficed for for-them the yesterday's announcement instead-of the
κηρύγματος. Καὶ ἤδη συνίασιν ὅτι πολλοί. Λοιπόν,
proclamation and already they-are-assembling very many for-the-rest
δεῖ τοῦτο, καὶ οὓς ἀποκηρύττομεν βίους ἀνειπεῖν τοῖς
it-is-needful this also which we-are-auctioning lives to-proclaim to-the
ἀγορασταῖς. Οἱ μὲν γὰρ πρὸς τὴν χθὲς ἀφεωρακότες
buyers they indeed for to the yesterday having-looked
ἐπαγγελίαν, ἀγοραίους ὠνήσασθαι βίους συνεληλύθασι,
announcement marketplace to-buy lives have-come-together
ὡς ἔκ τε τοῦ ζώσματος, καὶ τῶν σανδάλων, καὶ τῆς
as from both the girdle and the sandals and the

ἀσβόλης, καὶ τοῦ αὐχμοῦ τεκμήρασθαι ἔπεισιν· ἡμῖν δὲ
soot and the squalor to-judge it-is-possible for-us but
ποιητικοὶ καὶ πολιτικοὶ τὸ ἀποκηρυχθησόμενον.
poetical and political the(-thing) going-to-be-auctioned

HERMES Καὶ πῶς ἂν, ὦ πάτερ ἡμέτερε, δυναίμην πρὸς
and how — O father our could-I to
οὕτως ἀγροίκους καὶ ἐπιεικῶς σκαπανέας ποιεῖσθαι τὸ
such rustics and fairly diggers make the
κήρυγμα, Ἑρμῆς τε ὤν; Πῶς δὲ καὶ τῶν μέτρων οὗτοι
proclamation Hermes — being how and also the meters these
συνήσουσιν, ὁποῖα πολλὰ ὑπὸ σοῦ κελεύομαι ῥαψῳδεῖν
will-understand such-as many by you I-am-bidden to-recite
ἐπὶ τοῖς κηρύγμασιν;
at the proclamations

ZEUS Οἶδας, ὦ Ἀργειφόντα, τί ποτε ποιεῖν ἐπετράπης
you-know O Argus-slayer what — to-do you-were-charged
πρὸς τοὺς ἀγροικοτέρους θεῶν, ὁπηνίκα συνεκκλησιάζειν
with the more-rustic gods whenever to-meet-in-assembly
ἡμῖν ἀνάγκη ἐκείνους, οἷον τὸν Ἄνουβιν, καὶ τὸν
with-us it-is-necessary-for them such-as — Anubis and —
Βένδιν καὶ τὸν Ῥόδιον Κολοσσόν. Ἐπικατανεύεις γὰρ,
Bendis and the Rhodian Colossus you-nod for
οἶμαι, ὡς τὰ πολλὰ τῇ χειρί· οἱ δ' ἐντεῦθεν τὸ
I-think as the many(-times) with-the hand they and thence the(-thing)
ποιητέον αἰσθάνονται. Τοῦτο δὲ κἀνταῦθα ποίει, ἐπισείων
to-be-done perceive this and here-too do shaking
τὴν χεῖρα, καὶ διανεύων ὡς τὸ εἰκὸς, ἔστι δὲ ἃ
the hand and nodding as — fitting there-are and (things)-which
καὶ ἐπικηρύττων. Συνεληλύθασι γὰρ ὡς ὁρᾷς, καί τινες
also proclaiming have-come-together for as you-see also some

Ἑλλήνων ἀμφὶ τουτοῖ τὸ κοινώνημα, οἵ σου καὶ τοῦ
of-Greeks about this the gathering who you and the
κηρύγματος ἐπαισθήσονται.
proclamation will-perceive

HERMES Βίους ποιητικοὺς καὶ πολιτικοὺς ἀποκηρύττομεν, ὦ
lives poetical and political we-are-auctioning O
ἄνδρες Ἕλληνες, τήμερον· πάρεσθε ἀγαθῇ τύχῃ ὠνησόμενοι.
men Greeks today be-present with-good fortune to-buy

ZEUS Ἱκανῶς κεκήρυκται. Λοιπὸν ἐπισημήνασθαι δεῖ
sufficiently it-has-been-proclaimed for-the-rest to-signify it-is-needful-for
σε καὶ τῇ χειρὶ τὰ καθήκοντα πρὸς τοὺς ἀγοραίους·
you also with-the hand the(-things) fitting to the market-folk
εὖ γε· ἀπεληλύθασι γάρ.
well — have-gone-away for(-they)

HERMES Ποῖον οὖν, ὦ δέσποτα, βούλει πρῶτον κατάγομεν;
which then O master do-you-wish first we-bring-down
Τὸν εὐγένειον ἐκεῖνον, τὸν ἐκ τοῦ Βυζαντίου; ἢ τὸν
the well-bearded that the(-one) from — Byzantium or the
σκυθρωπὸν τουτονὶ τὸν Ἰωνικόν;
gloomy this the Ionian

ZEUS Οὐμενοῦν οὐδ' ὁπότερον· ἀλλ' ἐκεινονὶ τὸν τυφλὸν, τὸν
no-indeed neither of-the-two but that the blind(-one) the
Ἑπτάπολιν, τὸν ἐπὶ τῶν μύθων. Ἤγησαι δέ οἱ καὶ τῆς
Seven-Cities the(-one) over the tales lead and him also on-the
ὁδοῦ· εἰ μὴ ἄρα μάτην αὐτῷ καὶ ἡγεμόνιος ἐπικέκλησαι.
way if not then in-vain to-him also guide you-have-been-surnamed

HERMES Ἕπου μοι, ὦ γέρον, καὶ σαυτὸν ἐμπάρεχε τοῖς
follow me O old-man and yourself offer to-the(-ones)
ὠνησομένοις.
going-to-buy

HOMER Ἡγοῦ, Μαίας υἱὲ, διάκτορε Ἀργειφόντα· ἐγὼ δέ σοι
lead of-Maia son messenger Argus-slayer I and you
καὶ πραθησόμενος ἕψομαι ἄσμενος· οὐ γάρ τινα μοῖραν
even going-to-be-sold will-follow gladly not for any fate
φημὶ πεφυγμένον ἔμμεναι ἄνδρα.
I-say having-escaped to-be man
HERMES Ἕπου τάχιον, οὐ γὰρ διατρίβειν καιρός.
follow quicker not for to-linger the-time(-it-is)
HOMER Μὴ τοῦτό γε μὰν, Ἐριούνιε· βίη γάρ μοι λέλυται,
not this — truly Helper strength for for-me is-loosed
χαλεπὸν δέ με γῆρας ἱκάνει· ἠπεδανὸς δέ μοι θεράπων,
harsh and me old-age reaches feeble and for-me attendant
βραδέες δέ μοι ἵπποι.
slow and for-me horses
HERMES Τί δ’ οὐχὶ ὀψὲ γοῦν πεπαύσῃ, τὰ διάκαινα
why and not late at-least will-you-stop the(-things) brand-new
ῥαψῳδῶν;
reciting

HOMER Τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
child my what you word escaped the-fence of-teeth
πῶς δ’ ἂν ἔπειτα λόγοιο ἐγὼ θείοιο λαθοίμην,
how and — then of-the-word I divine could-forget
ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ’ ἱερὰ θεοῖσιν
who beyond indeed in-mind is of-mortals beyond and sacrifices to-the-gods
ἀθανάτοισιν ἔθυσε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι;
immortal has-offered who heaven broad hold

BUYER Τίνα τοῦτον ἄγεις δευρὶ τὸν τυφλὸν, ὦ Ἐριούνιε;
who(-is) this(-one) you-are-leading hither the blind O Helper

HERMES Βίος οὗτος ὁ σοφώτατος ἁπάντων, καὶ
a-life this the wisest of-all and
θεωρητικώτατος. Τίς τὸν παντοῖον ὠνεῖται;
most-contemplative who the all-round(-one) buys
HOMER Ἐπίμιξον, ὦ Ἑρμῆ, καί τινα τῶν ἐπῶν.
mix-in O Hermes also some of-the verses

HERMES Ὃς ἔγνω τά τ' ἐόντα, τά τ' ἐσσόμενα,
who knew the(-things) both being the(-things) and to-be
πρό τ' ἐόντα.
before and being

BUYER Καὶ μὴν πολλοῦ δεήσει θεωρηματικὸς τῶν
and indeed much he-will-lack contemplative of-the(-things)
ἐσομένων εἶναι, ᾧ μηδὲ τῶν ὄντων τὰ ἐν
to-be to-be for-whom not-even of-the(-things) being the(-things) at
ποσὶν ἐξέσται ὁρᾷν τυφλώττοντι ἐς τὸ ἔσχατον· ὡς
feet it-will-be-possible to-see being-blind to the utmost so-that
εἰ μὴ σὺ αὐτὸν ὑπεστήριζες, τὴν λαιὰν ὑποθείς, τάχα
if not you him propped-up the left(-hand) having-put-under perhaps
ἂν οἱ καὶ τὸ κρανίον συμποδισθέντι κατέαγεν.
— for-him even the skull having-stumbled would-have-been-broken
HERMES Εὐφήμει, ὦ ἄνθρωπε, μὴ καὶ λάθῃς ἄγων κατὰ
hush O man lest also unawares you-bring upon
τῆς ἑαυτοῦ κεφαλῆς τὰ παλαμναιότατα τῶν κακῶν,
the your-own head the most-polluting of-the evils
τηλικοῦτον εὐεργέτην Θεῶν βλασφημῶν· ὃς τῷ Διΐ
so-great a-benefactor of-the-Gods reviling who — to-Zeus
μὲν ἐκείνῳ τὴν αἰγίδα καὶ τὸν κεραυνὸν ἐχαρίσατο· ἐμοὶ
indeed that the aegis and the thunderbolt gave to-me
δὲ τὰ πτερὰ ταῦτα, καὶ τὴν ῥάβδον, καὶ τὰ χρύσεα
and the wings these and the wand and the golden

πέδιλα· τὰς λευκὰς ὠλένας τῇ Ἥρᾳ· τὸν δὲ κεστὸν τῇ
sandals the white arms — to-Hera the and girdle —
Ἀφροδίτῃ· τῇ δὲ Ἀθηνᾷ τοὺς γλαυκοὺς ὀφθαλμούς· τὴν
to-Aphrodite — and to-Athena the gray eyes the
δὲ τρίαιναν τῷ Ἐνοσιγαίῳ· καὶ τὰ ὅπλα τῷ Ἄρεϊ· ὡς
and trident to-the Earth-shaker and the arms — to-Ares so-that
εἰ μὴ οὗτος ἀγαθῇ τύχῃ ἡμῖν εὔνους ἦν, ἐδιψῶμεν
if not he with-good fortune to-us well-disposed had-been we-would-be-thirsting
ἂν καὶ ἐλιμώττομεν ἐς τὸ ἀκριβὲς, μήτε τῆς ἀμβροσίας τὸ
— and starving to the utmost neither of-the ambrosia the
πολλοστὸν, μήτε μίαν κοτύλην τοῦ νέκταρος ἔχοντες· οὐδ'
least-part nor one cup of-the nectar having nor
ἂν οὔτε ὁ Γανυμήδης ἐωνοχόει, οὔτε ὁ Πύθιος ἔχρα,
— neither — Ganymede would-pour-wine nor the Pythian would-prophesy
παρὰ τούτου δανειζόμενος τοὺς χρησμούς· οὔτε τὴν
from him borrowing the oracles nor the
τηλικαύτην ἀσπίδα τῷ Ἀχιλλεῖ ὁ Ἥφαιστος ἐτεκταίνετο·
so-great shield — for-Achilles — Hephaestus would-be-forging
ὅ τε Ἥλιος ἐπέζευεν ἂν, καὶ τὴν Κλωθὼ τὸ νῆμα
the and Sun would-be-going-on-foot — and — Clotho the thread
ἐπέλειπε, καὶ ὁ Χάρων οὐδ' ὅλως ὠβολοστάτει.
would-fail and — Charon not-even at-all would-be-weighing-obols

BUYER Εἶτα ὁ πλουσιώτατος ἁπάντων οὗτος, καὶ
then the richest of-all this(-one) and
μεγαλοδωρότατος, πρὸς τοῖς ἄλλοις καὶ τῇ Ἀθηνᾷ
most-munificent besides the others also — to-Athena
γλαυκοὺς ἐδωρήσατο ὀφθαλμοὺς, ἑαυτὸν δὲ τυφλὸν οὕτω
gray bestowed eyes himself and blind so
περιορᾷ καὶ ἀόμματον;
leaves and eyeless

HERMES Εἰκότως, ὦ ξένε· κατὰ νοῦν γὰρ οὗτος, καὶ οὐ
naturally O stranger according-to mind for he and not
κατ᾽ αἴσθησιν προῄρηται ζῆν· ὡς ἐὰν ὁρᾷν βούληται,
according-to sense has-chosen to-live since if to-see he-wishes
πόσους ὀφθαλμοὺς ἔχειν οἴει τὸν Ἄργους ὅλους
how-many eyes to-have do-you-think the Argus whole
ὀμματοῦντα πανταχόσε τοῦ σώματος; ἀφίημι γὰρ λέγειν, ὡς
seeing in-every-direction of-the body I-forbear for to-say that
ἀλοιφαῖς τισι καὶ βοτάναις ἀνακαθαίρειν οἶδε τὸ ὀπτικὸν,
with-ointments some and herbs to-purge he-knows the sight
καὶ ῥαδίως διαγινώσκειν, ποιεῖν ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα.
and easily to-distinguish to-make both a-god and also a-man
BUYER Ἡράκλεις· γόητά μοι λέγεις τινὰ καὶ θαυματουργὸν
Heracles a-sorcerer to-me you-tell-of some and wonder-working
ἄνθρωπον.
man
HERMES Καί τοι τὸ μέγιστον οὔπω ἀκήκοας. Εἴσεαι
and yet the greatest not-yet you-have-heard you-will-know
γὰρ ἀκούσας, οἵην ἐκ ῥακέων ἑτέραν ἐπιγουνίδα φαίνει.
for having-heard what from rags other thigh he-shows
Οὗτος τὸν Ἑλληνικὸν ἐκεῖνον συναγήγερκε ναύσταθμον,
he the Greek that gathered fleet
καὶ τὴν ἵππον ἐκείνην, καὶ τοὺς βασιλέας ἐκείνους, καὶ
and the horse that and the kings those and
Τροίαν ὅλην εἶλε μόνος· καὶ, τὸν κορυθαίολον αὐτὸς
Troy whole took alone and the of-the-flashing-helmet himself
ἀπεκτονὼς Ἕκτορα, τῷ τῆς Θέτιδος ἐπιγράφεται τὴν
having-killed Hector to-the(-son) — of-Thetis ascribes the
μεγαλουργίαν. Τοιοῦτος δὲ ὢν οὐδὲ τοὺς νόμους ὅμως
great-deed such and being not-even the laws nevertheless
ἀγνοεῖ τοὺς συμποτικούς· ἀλλ᾽ ὅτε μὲν ἐκ πασσαλόφιν
is-ignorant-of the convivial but when indeed from the-peg

τὴν λιγεῖαν ἀράμενος φόρμιγγα, κλέα ἀνδρῶν ᾄδει·
the clear having-taken-up lyre the-glories of-men he-sings
ὅτε δὲ μετὰ χεῖρας τὴν περικαλλέα θέμενος κίθαριν,
when and in hands the very-beautiful having-placed cithara

ἀμφ' Ἄρεος φιλότητος ἐϋστεφάνου τ' Ἀφροδίτης,
about Ares' love fair-crowned and Aphrodite's

μουσηγετεῖ, καὶ τῇ μοίρᾳ εὐθὺς ἐπιρραψῳδεῖ. Ὡς
he-leads-the-Muses and to-the fate at-once he-sings-on so
ἄρα τοῦτον ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δὲ γλυκεῖαν
— him of-eyes indeed deprived gave and sweet
ἀοιδήν. Οὐ ταῦτα δὲ μόνον· ἀλλὰ καὶ πύκτης ἐστὶ καὶ
song not these-things and only but also a-boxer he-is and
παλαιστρικὸς, καὶ δισκεύειν δεῆσαν, γυμναστικώτατος·
a-wrestler and to-throw-the-discus there-being-need most-athletic
ἦν δὲ καὶ τὴν Ἀφροδίτην ἐπορχήσασθαι δεήσῃ τῷ
if and also — Aphrodite to-dance-on there-be-need at-the
πότῳ, ἐνταῦθα οὐδ' ἂν Ἑρμῆς ἐγὼ περὶ προαγωγείας
drinking here not-even — Hermes I about procuring
ἐρίσαι δυναίμην τἀνδρὶ, ὅσῳ καὶ τὴν γοητείαν
to-contend could with-the-man by-so-much-as also the sorcery
ἔχει τοῦ ἔργου συναντιλαμβανομένην αὐτῷ. Ὃν μὲν γὰρ
he-has of-the work helping him one indeed for
χρυσὸν ποιήσει τερασιώτατα, μεταμείψας τὴν φύσιν, καὶ
gold he-will-make most-wondrously having-changed the nature and
ἐπὶ τὸν κόλπον καθήσει τῆς ἐρωμένης, ὃν δὲ ταῦρον
into the lap will-let-down of-the beloved another and a-bull
ἐργάσεται καί οἱ ἐπὶ τοῦ νώτου—.
he-will-make and for-him on the back

ZEUS Σίγα, ὦ Ἑρμῆ, τὰ τοιαῦτα, μὴ καὶ λάθῃς ταὐτὰ
hush O Hermes the such(-things) lest also unawares the-same
πεισόμενος τῷ Ταντάλῳ, διὰ τὴν τῶν ἀπορρήτων εἰς
you-suffer — as-Tantalus because-of the of-the secret(-things) to
ἀνθρώπους κοινολογίαν.
men communication

HERMES Καὶ μήν, ὦ Ζεῦ, ὁ γέρων οὗτος ἐμοῦ δ' ἂν
and indeed O Zeus the old-man this than-I and —
εἴη πολυδικαιότερος τὰς εὐθύνας ὑπέχειν· ὃς οὐ μόνον
would-be more-justly-liable the accounts to-render who not only
τὸν ταῦρον, καὶ τὸν χρυσὸν, ἀλλὰ καὶ τοὺς ἀετοὺς, καὶ
the bull and the gold but also the eagles and
τοὺς κύκνους, καὶ τοὺς σατύρους, αὐτοῖς ῥάμφεσι καὶ
the swans and the satyrs with-their-very beaks and
τοῖς κέρασιν, ὑπὸ ταῖς ἑαυτοῦ διφθέραις ἐνέγραψεν.
the horns under the his-own parchments wrote-in

BUYER Εἶεν. Ἀλλ' ἐφεῖται, ὦ Ἑρμῆ, καὶ πυθέσθαι τι
well-then but is-it-permitted O Hermes also to-inquire something
τοῦ γόητος τούτου, ἢ οὐδ' ἀποκρινεῖσθαι ἀξιώσειεν ἂν,
of-the sorcerer this or not-even to-answer would-he-deign —
τηλικοῦτος ὤν.
so-great being

HERMES Ἐφεῖται, νὴ Δία· καὶ πολυπραγμονεῖν.
it-is-permitted by Zeus even to-be-curious

BUYER Ἄγε οὖν, ὦ γέρον, εἰπέ. Πόθεν ἔφυς; καὶ τί
come then O old-man tell whence were-you-born and what
σοι τὸ γένος; καὶ τίς ἡ πατρίς;
for-you the race and what the fatherland

HOMER Οὔ τοι ἀποκρινοῦμαι ἀρραψῳδήτῳ ἐόντι.
not — I-will-answer to-one-unrhapsodized being

BUYER Σὺ δὲ ἀλλὰ πρὸς τοῦ ἔπους δίδαξόν με, πῶς καὶ
you then but by the verse teach me how also
ἐχρῆν ἐρηρωτηκέναι.
one-ought to-have-asked

HOMER Τίς, πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
who whence are-you of-men where your city and parents

BUYER Καὶ δὴ νόμισον οὕτω γέ σου πυθέσθαι· καὶ ὅθεν
and indeed consider so — of-you to-have-inquired and whence
ἔφυς εἰπέ.
you-were-born tell

HOMER Ἑπτὰ πόλεις μάρναθ' ἱερὴν διὰ ῥίζαν ἐμεῖο·
seven cities fought sacred over root of-me
Σμύρνα, Χίος, Κολοφὼν, Ἰθάκη, Πύλος, Ἄργος, Ἀθῆναι,
Smyrna Chios Colophon Ithaca Pylos Argos Athens

BUYER Ποῦ δὲ ἐπαιδεύθης;
where and were-you-educated

HOMER Καλλιόπη με δίδαξε, Διὸς τέκος ἀργικεραύνου.
Calliope me taught of-Zeus child of-the-bright-thunder

BUYER Ὁποδαπὸς δὲ τὴν διάλεκτον εἶ;
of-what-country and the dialect are-you
HOMER Παντοδαπός.
of-every-country
HERMES Ἠδίκησας τὸ ἔπος, ἄριστε ποιητῶν, τοῦτο τῆς
you-have-wronged the verse best of-poets this(-part) of-the
ἀπολογίας ἀπολιπὼν ἀρραψῴδητον.
defense having-left unrhapsodized

HOMER Σὺ δὲ ἀλλά μοι τὸ ἐλλεῖπον ἀναπληρώσεις,
you then but for-me the(-thing) lacking will-fill-up
λόγιος ὑπ᾽ ἐμοῦ γε ὀνομασμένος. Καὶ ὡς ταῖς πέντε
eloquent by me — named and that the five
διαλέκτοις χρῶμαι μαρτύραις.
dialects I-use witnesses
HERMES Νῦν μὲν ταύτῃ, νῦν δ᾽ ἐκείνῃ, καὶ ἑκάστῃ, ὡς
now indeed this now and that and each as
ἐπικαίρως. Τίς γοῦν ἢ Ἐμπεδοκλῆς μοι τοῦ ἔργου
opportunely who then or Empedocles for-me in-the work
ξυνάρηται; λέγων· Ἤδη γάρ τε γένου
will-help saying already for — you-became

κοῦρός τε, κούρη τε,
boy both girl and
θάμνος τ᾽, οἰωνός τε, καὶ εἰν ἁλὶ νήχυτος ἰχθῦς.
bush and bird and and in sea swimming fish

BUYER Ποῖον δέ σοι τὸ ὄνομα.
what and to-you the name

HOMER Κίκλησκόν με Ὅμηρον πατὴρ καὶ πότνια μήτηρ.
called me Homer father and lady mother

BUYER Εἶτα Ὅμηρος ὢν ἐλελήθεις ἡμᾶς· ἐγὼ δέ σε
then Homer being you-escaped-the-notice-of us I and you
μικροῦ καὶ ἐπὶ τῇ μύλῃ ἂν ἐπριάμην· ἵν᾽ ἐκτὸς τῆς
almost even for the mill — I-would-have-bought so-that outside the
καλύπτρας ἀλήθῃς αὐτότυφλος ὤν.
veil you-might-grind self-blind being

HERMES Καὶ μὴν, οὐδὲ ἀλήθειν σοι ἔτι πρὸς ἀνάγκης ἐσεῖται,
and indeed not-even to-grind for-you still of necessity will-it-be
τὸν ἄριστον τουτονὶ πριαμένῳ. Ῥαδιώτατα γὰρ ἢ ἐς τοὺς
the best this(-one) having-bought most-easily for either to the
Κύκλωπάς σε ἀπαγαγὼν, ἄσπαρτα καὶ ἀνήροτα ἐσθίειν
Cyclopes you having-led-away unsown and unplowed(-things) to-eat
παρασκευάσει· ἢ Οὔλυμπόνδε ἀναβιβάσας, ὅπου Μακάρων
he-will-make(-you) or to-Olympus having-taken-up where of-the-Blessed
ἕδος ἀσφαλὲς αἰὲν, ἄφθιτον, οὔτε χιόν ἐπιπίλναται, οὔτε
seat safe always imperishable neither snow is-spread nor
ὄμβρῳ δεύεται, τοῦ νέκταρός σε ποτίσει καὶ
by-rain is-wetted with-the nectar you he-will-give-to-drink and
ἐπισιτίσει τῆς ἀμβροσίας. Εἰ δὲ καὶ χρυσίου ἐρᾷς, τάχα
will-feed with-the ambrosia if and also gold you-love perhaps
καὶ ὅλους σοι Πακτωλοὺς ἐπὶ τὴν οἰκίαν ὑδραγωγήσει.
even whole for-you Pactoluses to the house he-will-channel
Τὸ δὲ δὴ φρικτόν τε καὶ δεινῶς τεράστιον, διά
the(-thing) and indeed dreadful both and terribly portentous through
τινος σε νεκύας ζωὸν ἐς τὸν Πλουτέα κατάξει,
a-certain you raising-of-the-dead alive to — Pluto will-bring-down
καὶ φίλων ψυχὰς κατατεθνεώτων καὶ αὐτῆς μητρὸς
and of-friends souls dead and of-your-own mother
ὑποδείξεται· κἀκεῖθεν τὰ ἀπόῤῥητα τελεσθέντα, καὶ τῷ
will-show and-thence the secret(-things) having-been-initiated(-in) and —
Θήβηθεν ξυγγενόμενον Τειρεσίᾳ πάλιν ὑπὲρ γῆς ἀναγάγῃ.
from-Thebes having-conversed with-Teiresias again above earth will-bring-up
BUYER Εὐκτὰ μὲν καὶ ταῦτα· καὶ τί γὰρ ἄλλο, ἢ
to-be-prayed-for indeed also these-things and what for else than
ποιητικὰ ἀγαθά. Πλὴν ἀλλ᾽ ἐγώ σε, ὦ θεσπέσιε Ὅμηρε, τοῦτο
poetical goods but — I you O divine Homer this
πρὸς τῶν ἄλλων ἐροίμην ἄν· Τί ποτέ σοι τὸ ποικίλον τοῦ
before the others would-ask — what ever for-you the variety of-the

μέτρου βούλεται; καὶ ἔστιν οὗ μὴ πρὸς ἑαυτὸ συνωδόν· ὡς
meter means and there-is where not with itself harmonious since
ἐγὼ οὐκ ἔστιν ὅσα καὶ ἐκκεκώφωμαι ὑπὸ τῶν ἀλαστόρων
I not is(-it) how-much also have-been-deafened by the accursed
γραμματικῶν, λαγαρούς τινας καὶ προκεφάλους, καὶ τοὺς
grammarians slack some and long-headed and the(-ones)
οὐκ οἶδά τινας ἂν καὶ εἶεν μειούρους ψυχρολογούντων.
not I-know what — also would-be mouse-tailed talking-frigidly
HOMER Οὐ, μὰ γὰρ Ἀπόλλωνα Διΐ φίλον, οὐ συνίημι
no by for Apollo to-Zeus dear not I-understand
τίποτε ἄρα καὶ λέγουσι τὰ ὀνόματα.
what-ever then also say the names
BUYER Παίζεις ἔχων· τὸ μέντοι
you-are-joking persistently the(-line) however

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν·
Trojans and shuddered when they-saw glittering snake

ἦ μὴν καὶ διόμνυνται μείουρον εἶναι οἱ γενναιότατοι τῶν
in truth also swear mouse-tailed to-be the noblest of-the
γραμματικῶν.
grammarians

HOMER Αἶ γὰρ Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον·
would-that for Zeus both father and Athena and Apollo
εἰ μείουρον ἔγνωκα, μὴ οὖρος ἐμοὶ φορὸς ἄοι·
if mouse-tailed I-have-known not breeze to-me favorable may-blow
πλήθει δ' ἐμπελάων ἐσθλούς τε κακούς τε νούσους.
by-crowd and drawing-near good both bad and diseases

BUYER Οἱ δὲ τῆς ἡμέρας δάκτυλοι, καὶ τὰ πέταλα, πόθεν
the and of-the day fingers and the petals whence
οἱ μὲν ῥοδόεντες, τὰ δέ σοι κροκόεντα ἐξεφάνησαν, τὴν
the indeed rosy the and for-you saffron appeared the
τῶν χρωμάτων ἀντιληπτικὴν ἕξιν ἀνενέργητον ἔχοντι,
of-the colors perceptive faculty inactive having
διὰ τὴν τοῦ αἰσθητηρίου πηρότητα;
because-of the of-the sense-organ maiming

HOMER Οὐ γάρ μοι βρεφόθεν δνοφερὴ νὺξ ὄσσε κάλυψεν·
not for for-me from-infancy dark night eyes covered
ἠέλιον τ᾽ ἔδρακον καὶ ῥοδοδάκτυλον ἠῶ.
the-sun and I-saw and rosy-fingered dawn

BUYER Εἶεν. Πόσου τοῦτον, ὦ Ἀργειφόντα, τιμᾷ;
well-then at-how-much this(-one) O Argus-slayer do-you-value
HERMES Πόσου μὲν λέγειν τὸν ὑπέρτιμον οὐκ ἐχρῆν;
at-how-much indeed to-say the(-one) beyond-price not one-ought
Πέντε δὲ ὅμως λάβε ταλάντων.
five but nevertheless take talents
BUYER Πολλοῦ φῂς, εἰ μὴ καὶ τὸν ἡγησόμενον αὐτῷ
much you-say if not also the(-one) going-to-guide him
τῆς ὁδοῦ ξυνεωνῆσθαι ἀνάγκη.
on-the way to-be-bought-with(-him) it-is-necessary
HERMES Οὐ γάρ· σὺ δὲ φανερῶς κιμβικεύῃ τὸν πλουσιώτατον
no for you and clearly are-haggling the richest
πρίασθαι ἀξιῶν· μὴ δὲ τοῦτο ξυνιεὶς, ὡς πέντε μόνων
to-buy expecting not and this understanding that for-five only

ταλάντων τὸν παντοῖον ἐώνησαι, ὃν καὶ στρατηγὸν
talents the all-round(-one) you-have-bought whom also general
ἂν σχοίης ἐπὶ πολέμου,
— you-could-have in war

ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
shield then shield pressed helmet helmet man and man

καὶ δορυφόρον δὲ, καὶ τοξότην δὲ,
and spearman too and archer too

εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ,
he-took and doughty spear pointed with-sharp bronze
τόξ' ὤμοισιν ἔχων, ἀμφηρεφέα τε φαρέτρην·
bow on-shoulders having closed-over and quiver

καὶ τραπεζοκόμον δὲ, καὶ οἰνοχόον δὲ,
and table-servant too and wine-pourer too

σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
bread and revered housekeeper set-beside bringing
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων·
foods many adding giving-freely of-what-was-there
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.
youths and mixing-bowls filled-to-the-brim of-drink

καὶ κιθαρῳδὸν δὲ, καὶ ἰατρὸν δὴ, Ὅ δ'
and lyre-singer too and physician indeed he and

ἀνεβάλλετο καλὸν ἀείδειν·
struck-up beautifully to-sing

ἐπὶ δ'
on and

ἤπια φάρμακα πάσσεν·
soothing drugs sprinkled

ἦν δὲ καὶ συμβουλεύειν δεήσῃ, τὸν εὐφραδέστατον,
if and also to-counsel there-be-need the most-eloquent

τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή·
of-whom also from tongue than-honey sweeter flowed voice

ἦν δὲ καὶ κηρύττειν, τὸν εὐφωνότατον,
if and also to-proclaim the most-loud-voiced

Κέκλυτέ μευ, Τρῶες, καὶ ἐϋκνήμιδες Ἀχαιοί·
hear me Trojans and well-greaved Achaeans

ἦν δὲ καὶ βασιλεῦσιν ἐπιτιμᾷν ἁμαρτάνουσι, τὸν
if and also kings to-rebuke erring the
εὐκαρδιώτατον,
most-stout-hearted

οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
not one-ought all-night to-sleep counsel-bearing man
ᾧ λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλε.
to-whom people both are-entrusted and so-many(-cares) are-his-concern

Εἰ δὲ καὶ τέλος ἁμαρτόντα τινά σοι τῶν οἰκετῶν, καὶ ἢ
if and also at-last having-erred some for-you of-the servants and either
ὀστᾶ παραθέντα κεκαλυμμένα τῇ πιμελῇ, ἢ τὰ ἀπόῤῥητα
bones having-set-beside covered with-the fat or the secret(-things)

ἐκκαλύψαντα, ἢ ἐρασθέντα τῆς Χρυσοθρόνου, κολάσαι
having-uncovered or having-loved the Golden-throned(-one) to-punish
βούλοιο, ἀναλόγως οὐκέτι τὸν δήμιον ἀναψηλαφήσεις,
you-should-wish correspondingly no-longer the executioner will-you-grope-for
αὐτὸς γὰρ οὗτος καὶ ἐπὶ τοῦ Καυκάσου πήξεται τὸν
himself for he even on the Caucasus will-fix the
σταυρὸν, καὶ τὸν γύπα μετακαλέσεται κεροῦντα τὸ ἧπαρ·
cross and the vulture will-call-in to-shear the liver
καὶ εἰς μέσην ὠθήσει τὴν λίμνην, ἐφ' οὕτω πλουσίοις
and into the-middle-of will-push the lake at so rich
τοῖς ὕδασι διψησόμενον· καὶ τὸν λίθον ὑπὲρ κορυφῆς
the waters to-thirst and the stone above head
αἰωρήσει· καὶ ἐπὶ τοῦ τροχοῦ καταδήσεται. Ταῦτα οὐ
will-hang and on the wheel will-bind these-things not
πέντε σοι τιμᾶται ταλάντων;
five for-you are-valued talents

BUYER Πάνυ τι· καὶ ὠνοῦμαι ἤδη αὐτὸν τοσούτου.
very much and I-buy now him for-so-much

HERMES Ἀπεμπόληται, ὦ Ζεῦ, ὁ Ἑπτάπολις.
has-been-sold O Zeus the Seven-Cities(-man)

ZEUS Πόσου, ὦ Ἑρμῆ;
for-how-much O Hermes

HERMES Πέντε ταλάντων.
five talents

ZEUS Τίς ὁ πριάμενος.
who the(-one) having-bought

HERMES Ἑρμαγόρας ὁ Ἀθηναῖος.
Hermagoras the Athenian

ZEUS Γράφε τοῦτον ἐπὶ τῆς κύρβεως. Ὑμεῖς μὲν οὖν
write him on the tablet you indeed then
ἄπιτε ἀγαθῇ τύχῃ νάρθηκος πολὺ πρῶτον παχέος Ὁμήρῳ
go-away with-good fortune a-fennel-stalk much first thick to-Homer

ἀναδοθέντος, ὁποῖος ἐπὶ ταῖς Διονύσου πομπαῖς ὑπερείδει
having-been-given such-as at the of-Dionysus processions props-up
τὸν Σειληνόν· ἄτοπον γὰρ ἂν εἴη, καὶ ἐπιεικῶς ἀχάριστον,
— Silenus strange for — would-be and fairly ungrateful
Θεῶν μηδένα νάρθηκι γοῦν ἀμείψασθαι, εὐώνῳ πράγματι,
of-Gods none with-a-fennel-stalk at-least to-repay a-cheap thing
τὸν τηλικούτοις δώροις ἡμᾶς φιλοφρονησάμενον.
the(-one) with-such gifts us having-treated-kindly
Σὺ δὲ, ὦ Ἑρμῆ, τὸν Ἰωνικὸν ἐκεῖνον κάλει τὸν ἐπὶ
you and O Hermes the Ionian that call the(-one) over
τῶν τραυμάτων.
the wounds

II · HIPPOCRATES AND THE PLAYWRIGHTS

Hippocrates, speaking Ionic, promises to make his buyer like most doctors today by teaching him jargon, bluster, and indiscriminate bleeding. He is sold for four minas, razor and cautery included. Aristophanes, insolent, is driven off, and Euripides, answering only in tragic lines, is refused by the first buyer. Another buyer takes him for two minas to mourn his daughter.

HERMES Κατάβηθι, ὦ σὺ, καὶ τοῖς ἀνακρινοῦσι ἐμπάρεχε
come-down O you and to-the(-ones) going-to-examine offer
σεαυτὸν, πλὴν ὅπως μὴ πολλὰ καὶ σὺ κατὰ τὸν τυφλὸν
yourself only that not much also you like the blind
ἐκεῖνον ληρῶν, τὸ πλεῖον ὑποτέμῃς τῆς ὥρας τῷ
that babbling the greater-part you-cut-off of-the hour from-the
πρατηρίῳ. Τὸν κοινωφελέστατον βίον πωλοῦμεν· σωτὴρ
sale the most-generally-useful life we-sell savior
οὗτος τῶν ἀνθρωπίνων ἐστὶ σωμάτων.
he of-the human is bodies

BUYER Παπαί· ὁπόσης ἀπόζει τῆς ῥητίνης ὁ ἄνθρωπος.
pah how-much smells-of the resin the man
Τίς δὲ ὢν τυγχάνει;
who and being does-he-happen
HERMES Κῷος μὲν τὴν πατρίδα, τὴν δὲ διάλεκτον Ἴων.
a-Coan indeed the fatherland the and dialect an-Ionian
Τὰ δὲ ἄλλα τούτου αὐτοῦ πυθέσθαι κάλλιον.
the and rest of-him himself to-inquire better
BUYER Μὴ πρότερον, ὦ Ἑρμῆ, πρὶν τὸ οὖς ὑποθέντας
not before O Hermes before the ear having-put-under
ἀκοῦσαι, τί ποτε καὶ ψάλλειν ἔοικεν ὑπὸ τὸν ὀδόντα.
to-hear what ever also to-hum he-seems under the tooth
HIPPOCRATES Ὁκόσοισι νέοισιν ἐοῦσιν.
for-as-many-as young being
BUYER Ἡράκλεις· Ἰωνικὸς ἀκριβῶς ὁ ἀνήρ. Ἀλλὰ φέρε, εἰπέ
Heracles Ionian exactly the man but come tell
μοι, μακρὲ, ποῖον τί σοι τὸ κατὰ τέχνην ἐνέργημα;
me tall-one what what for-you the according-to art activity
HIPPOCRATES Ἐν ἀλλοτρίῃσι συμφορῇσιν ἰδίας καρποῦμαι
in others' misfortunes own I-reap
λύπας.
griefs
BUYER Καὶ δὴ συμπαθέστατος ὢν ἡμᾶς ἐλελήθεις·
and indeed most-sympathetic being us you-escaped-the-notice-of
ἐπεὶ ἀπό γε τοῦ καυτῆρος ἐκείνου, καὶ τουτουΐ τοῦ ξυρίου,
since from — the cautery that and this the razor
μακελλικωτέρῳ μᾶλλον ἐῴκεις.
more-like-a-butcher rather you-seemed
HIPPOCRATES Τουτέοισι, ξεῖνε, πέπονα φαρμακεύω, καὶ κινέω
with-these stranger ripe(-things) I-medicate and I-move
μὴ ὠμά.
not raw(-things)

BUYER Καὶ μὴν οὔπω τι κατὰ τὸν Λοξίαν, ὦ Κῷε,
and indeed not-yet anything like — Loxias O Coan
ἀποσαφεῖς· οἷς μὲν γὰρ πρότερον ἔφησθα, ὡς περὶ
do-you-make-clear by-what indeed for before you-said as about
συμπαθοῦς τινος ἐδίδως διανοεῖσθαι σαυτοῦ. Τό γε τοι
a-sympathetic some(-one) you-gave to-think of-yourself the — —
δεύτερον φοίβασμα, φαρμακέα σέ τινα μᾶλλον καὶ σκληρὸν
second oracle a-poisoner you some rather and harsh
παρίστησιν ἄνθρωπον, ὥστ᾽ οὐκ οἶδ᾽ ὁποτέρῳ ἂν καὶ
presents man so-that not I-know on-which-of-the-two — also
θείμην τῶν ὀνομάτων, ὡς ἐπ᾽ ἀμφιβόλῳ σοι σαλεύων,
I-should-put of-the names as in doubt for-you tossing
καὶ νῦν μὲν πολλοῦ σε τιμώμενος διὰ τὴν συμπάθειαν,
and now indeed at-much you valuing because-of the sympathy
νῦν δὲ διὰ τὴν φαρμακείαν τοῦ μηδενός.
now and because-of the poisoning — at-nothing

HIPPOCRATES Ἀλλὰ τῆς ῥαψῳδίας γοῦν οὐκ ἂν δύναιο μὴ
but the rhapsody at-least not — could-you not
οὐχὶ ξυνιέναι, ὁκοῖον τοῦτο ἀποφηναμένης περὶ ἐμοῦ·
fail to-understand of-what-sort this having-declared about me
Ἰητρὸς ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων.
a-healer man of-many worth others

BUYER Ἔστω σοι ταῦτα. Δυναίμην δὲ, ὦ πολλῶν ἀντάξιε,
let-it-be for-you these-things could and O of-many worth
καὶ αὐτὸς τὴν ἰητρικὴν τελεσθῆναι, ἢν πρίωμαί σε, ἵν᾽
also I-myself the healing-art be-initiated-into if I-buy you so-that
οὕτως ἐξέσται κἀμοὶ, πολλῶν ἄλλων ἀνταξίῳ εἶναι;
thus it-will-be-possible also-for-me of-many others worth to-be

HIPPOCRATES Ὡς πολὺ τοῦτο φῂς, καὶ τοῖσι πλεόνεσσιν
how much this you-say and for-the most
ἀνθρώποισιν οὐχὶ ἀκατόρθωτον μόνον, ἀλλὰ καὶ ἀνέλπιστον
men not unattainable only but also hopeless

καὶ ἀνεπιχείρητον. Ὁ μὲν γὰρ βίος βραχὺς, ἡ δὲ τέχνη
and not-to-be-attempted the indeed for life short the and art
μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ
long the and opportunity fleeting the and experiment perilous the
δὲ κρίσις χαλεπή. Ὅμως μέντοι τοῖσι πολλοῖσι τῶν νῦν
and judgment difficult nevertheless however to-the many of-the now
ἰητρῶν ἐμφερέα σε ποιέειν, οὐ χαλεπόν. Τῆς μὲν γὰρ ἐν
healers like you to-make not difficult the indeed for in
τοῖσι σφυγμοῖσιν ἀκριβολογίης, καὶ τοῖσι οὔροισι διακρίσιος,
the pulses precision and in-the urines diagnosis
καὶ τοῖσι πυρετοῖσι διαφορῆς παντάπασιν ἀμελήσεις·
and in-the fevers distinction altogether you-will-neglect
παντοδαπῶν δέ σοι μελήσει ξυρίων, καὶ διὰ γλώττης
of-every-kind and to-you will-be-a-care razors and through tongue
ἄγειν τὰ πλεῖστά μου τῶν γραμμάτων· θρασύνεσθαί τε
to-carry the most of-me of-the writings to-be-bold both
πρὸς τοὺς παρεόντας, καὶ στωμυλεύεσθαι· ξηρότητάς τε
toward the bystanders and to-chatter drynesses both
καὶ ψυχρότητας, καὶ ὕλας, καὶ εἴδεα, καὶ ποιότητας,
and coldnesses and matters and forms and qualities
καὶ ποσότητας, καὶ αἴτια, καὶ συμπτώματα, καὶ χυμοὺς,
and quantities and causes and symptoms and humors
καὶ πάθη, καὶ τοὺς τριταίους, καὶ ἡμιτριταίους, καὶ τοὺς
and affections and the tertians and semi-tertians and the
συνεχεῖς, καὶ τοὺς καύσους, καὶ συνόλως τὰ τοιαῦτα
continuous(-ones) and the burning(-fevers) and in-sum the such
τῶν ὀνομάτων θαμὰ τῷ λόγῳ παρεισκυκλέειν. Ἢν δὲ
of-the names often into-the speech to-roll-in if and
καὶ μετακληθείης περὶ νοσέοντα, τῆς τε χερὸς ἅψεαι,
also you-are-called-in to a-sick(-man) the — hand you-will-touch
καὶ ἐν τοῖσι σπλάγχνοισι καθήσας τὴν δεξιὰν, καὶ περὶ
and in the entrails having-let-down the right and about

τοῦ σπληνὸς ψυχροῤῥημονήσας, καὶ ἀπεραντολογήσας περὶ
the spleen having-talked-coldly and having-talked-endlessly about
τοῦ πνεύμονος, καὶ ἅμα λέγων, ἐγκατασείσεις τῷ
the lung and at-the-same-time speaking you-will-shake in-the
λόγῳ τὴν κεφαλήν. Φλέβας μέντοι τεμεῖς ἀδεῶς, ἤν
speech the head veins however you-will-cut fearlessly if
τε δέῃ τεμεῖν, ἤν τε καὶ μή. Ἐν δὲ τῇσι ταραχῇσι
— there-be-need to-cut if — also not in and the disturbances
τῆς κοιλίας, καὶ τοῖσιν ἐμέτοισι τὸ προστυχὸν ἐνεργήσεις,
of-the belly and the vomitings the chance(-thing) you-will-do
ἐν τοῖσί τε ὠμοῖσι καὶ τοῖσι πεπόνεσσιν ἀπαρατηρήτως
in the both raw(-humors) and the ripe(-ones) unobservantly
χρήσῃ τῇ φαρμακείᾳ. Μόνον ἀπερεύγου τὰ πλεῖστά
you-will-use the medication only belch-out the most
μου τῶν ἀφορισμῶν. Ἀπαρίθμεε δὲ καὶ τὰς ἐπιγραφὰς
of-me of-the aphorisms recount and also the titles
τῶν βιβλίων. Κἂν ἡ φύσις ὑγιάσηται τὸν νοσέοντα,
of-the books even-if — nature heals the sick(-man)
σφετέρισαι τὸ ἔργον, καὶ ἐπὶ τῷ πράγματι κόμπασον.
appropriate the work and over the matter boast
Ἤν δὲ ἡ σὴ ἀτεχνίη πολλὰς ἀνθρώπων ψυχὰς Ἄϊδι
if and the your unskill many of-men souls to-Hades
προϊάψῃ, θάρσεε· ὑπὸ γὰρ θανοῦσι τοῖσιν ἐλέγχοισιν οὐκ
sends-forth take-heart by for dead the proofs not
ἂν διαγνωσθήσεαι, ὁκοῖος ἦσθα τὴν ἀμαθίην.
— you-will-be-detected of-what-sort you-were the ignorance

BUYER Θαυμαστὰ ταῦτα φῄς, καὶ ἐπιεικῶς εὔπορα, ὡς
wonderful these-things you-say and fairly easy so-that
ὠνήσωμαί σε τούτων γε ἕνεκα. Πόσου τοῦτον, ὦ
I-may-buy you these — for-the-sake-of at-how-much this(-one) O
Ἀργειφόντα, τιμᾷ;
Argus-slayer do-you-value

HERMES Μνῶν, ὦ Ποδαλειριάδη, τεττάρων.
at-minas O son-of-Podalirius four
BUYER Ἔχω τοσούτου λαβών.
I-have(-him) for-so-much having-taken(-him)
HERMES Τὸ μέντοι ξυρίον καὶ τὸ καυτήριον οὐ συναπημπόληται,
the however razor and the cautery not are-sold-with(-him)
τῷ Ἀσκληπιῷ πρὸς ἑσπέραν ἀπαχθησόμενα, οὐ μέτρια
— to-Asclepius toward evening going-to-be-carried-off not moderately
περὶ τούτων ἡμῖν ἐνοχλήσαντι.
about these us having-troubled
BUYER Μηδαμῶς, ὦ Ἑρμῆ· ὡς ἐὰν ταῦτά γε ἀφέλῃς,
by-no-means O Hermes since if these-things — you-take-away
σχολῇ καὶ τῶν δυεῖν πριαίμην τὸν ἰατρόν.
hardly even for-the two should-I-buy the physician
HERMES Συναπειλήφθω καὶ ταῦτα· ὥστε ἤδη ἄπιτε.
let-them-be-taken-in-with(-him) also these-things so-that now go-away
Ἄλλους καταβῆναι καιρός.
others to-come-down the-time(-it-is)
Κατάβητον, ὔμμε, ὁ Κωμικὸς σὺ, καὶ ὁ Τραγικὸς
come-down-you-two you the Comic you and the Tragic
ἐκεῖνος. Σὺ δὲ πρῶτος, ὁ Κωμικός. Ἀλλὰ καὶ τὸν γέλων
that(-one) you and first the Comic but also the laughter
ἀπόῤῥιψον, καὶ τὰ σκώμματα, καὶ τὸ τραχὺ, καὶ τὸ
throw-away and the gibes and the harshness and the

αὔθαδες. Τίς γὰρ ἂν σωφρονῶν γελοιαστὴν οἰκέτην, καὶ
arrogance who for — being-sensible a-jesting servant and
παίκτην πρίαιτο, καὶ συνόλως ἐπίτριμμα ἀγορᾶς;
a-buffoon would-buy and in-sum a-rogue of-the-marketplace

ARISTOPHANES Ὡς ἀργαλέον πρᾶγμ' ἐστὶν, ὦ Ζεῦ καὶ θεοὶ,
how grievous a-thing it-is O Zeus and gods
δοῦλον γενέσθαι ***
a-slave to-become (etc.)
Ἢν γὰρ τὰ βέλτισθ' ὁ θεράπων λέξας τύχῃ,
if for the best(-things) the servant having-said happens
δόξῃ δὲ μὴ δρᾶν ταῦτα τῷ κεκτημένῳ,
seems and not to-do these-things to-the(-one) having-acquired(-him)
μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν.
to-share it-is-necessary-for the servant in-the evils

BUYER Καὶ μὴν οὐδενὸς ἔτι ἐξ ἐμοῦ μετέχεις κακοῦ.
and indeed in-no still from me you-share evil
ARISTOPHANES Ἀλλὰ μετάσχω γε· σκληρὸν γὰρ ἐκ τοῦ
but I-shall-share — harsh for from the
προσώπου φαντάζομαί σε· Οἶμαι δὲ, νὴ τὸν οὐρανὸν, καὶ
face I-imagine you I-think and by the heaven also
ψωλόν σε εἶναι.
circumcised you to-be
BUYER Μετάσχῃς μέντοι, τοιαῦτα ληρῶν;
you-shall-share then such-things babbling

ARISTOPHANES Οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε.
not for me will-you-beat a-garland wearing —

BUYER Καὶ τῆς αἰώρας δὲ ὑπεραναρτήσω, ἵνα μάθῃς
and from-the swing and I-will-hang(-you)-up so-that you-may-learn
δραπέτης ὢν μὴ ἂν δεσπότου ἐμπαροινεῖν.
runaway being not — on-a-master to-play-the-drunken-bully
ARISTOPHANES Κέχοδα τῷ δέει, κέχοδα.
I-have-shat with-the fear I-have-shat
BUYER Σὺ δὲ ἀλλ' ἔρρε, μιαρὸς ὤν· κάλλιον γὰρ οἶμαι,
you then but go-to-ruin foul being better for I-think
τοῦ κλάοντος ἐκπυθέσθαι τούτου.
the weeping(-one) to-inquire-of this

EURIPIDES Πᾷ βῶ; πᾷ στῶ; πᾷ κέλσω;
where may-I-go where may-I-stand where may-I-put-in

BUYER Δραπέτου ταῦτα τὰ ῥήματα.
of-a-runaway these the words

EURIPIDES Οὐκ ἔστι δεινὸν, ὧδ' εἰπεῖν ἔπος,
not there-is terrible so to-speak word
οὐδὲ πάθος, οὐδὲ ξυμφορὰ θεήλατος,
nor suffering nor calamity god-sent
ἧς οὐκ ἂν ἄροιτ' ἄχθος ἀνθρώπου φύσις.
whose not — would-bear burden of-man nature

BUYER Τίς γάρ σε κατείληφεν, ὦ ἄνθρωπε, συμφορά;
what for you has-seized O man calamity

EURIPIDES Πρῶτα μέν με τοὔνομα
first indeed me the-name
θανεῖν ἐρᾷν τίθησιν, οὐκ εἰωθὸς ὄν.
to-die to-desire makes not accustomed being

Ἔπειτ᾽ ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
then perhaps — of-masters cruel minds
τύχοιμ᾽ ἄν, ὅστις ἀργύρου μ᾽ ὠνήσεται.
I-should-meet — whoever for-silver me will-buy
Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
whoever for not is-accustomed to-taste evils
φέρει μὲν, ἀλγεῖ δ᾽ αὐχέν᾽ ἐντιθεὶς ζυγῷ·
bears indeed is-pained and neck putting-in yoke
θανὼν δ᾽ ἂν εἴη μᾶλλον εὐτυχέστερος,
having-died and — would-be rather more-fortunate
ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς, μέγας πόνος.
than living the for living not well great toil

BUYER Θάῤῥει τοῦτο τὸ μέρος· ἴσα γάρ σε καὶ τοῖς
take-heart in-this the part equally for you also with-the
φιλτάτοις ἀγαπώην ἄν.
dearest I-would-love —
EURIPIDES Ὦ παγκάκιστα χθόνια γῆς παιδεύματα.
O most-evil underground of-earth nurslings
BUYER Ὁρᾷς; οὐκ ἀγαθὰς ἀγαθῶν ἀντιδίδως τὰς ἀποκρίσεις.
do-you-see not good for-good you-return the answers
EURIPIDES Φύσει γὰρ ἐχθρὸν τὸ δοῦλον τοῖς δεσπόταις.
by-nature for hostile the slave(-kind) to-the masters
BUYER Ἔγω γοῦν οὐκ ἐς τοσοῦτον Μελιτίδης ἂν εἴην
I then not to such Melitides — would-be
καὶ Κόροιβος, ὡς ἑαυτῷ πολέμιον πρίασθαι· εἰ μὴ καθ᾽
and Coroebus as for-myself an-enemy to-buy if not against
ἑαυτοῦ τὴν μάχαιραν ἐξευρίσκειν μέλλοιμι, κατὰ τὴν αἶγα
myself the knife to-find-out I-were-about like the goat
τῆς παροιμίας· ὥστε σαυτῷ οἴμωζε τοῦ λοιποῦ.
of-the proverb so-that for-yourself wail for-the rest(-of-time)

ANOTHER BUYER Ἀλλ᾽ ἔγω γε, ὦ Ἑρμῆ, τὸν ἄγεις ἡμῖν
but I — O Hermes the(-one) you-lead to-us
ἄπρατον ὠνήσομαι τοῦτον, καταθρηνήσοντά μου τοῦ
unsold will-buy this(-one) going-to-lament my the
θυγατρίου μικροῦ πρὸ ταύτης ἡμερῶν ἐκ μέσων τῶν
little-daughter a-little before this of-days from the-midst-of the
νυμφώνων ἀνηρπασμένου.
bridal-chambers snatched-away
HERMES Νὴ Δία, καὶ αὐτό σοι τῆς φιλτάτης τὸ εἴδωλον
by Zeus and itself for-you of-the dearest the phantom
ὑπὲρ κεφαλῆς παραστήσοντα, λέγον, ἥκειν νεκρῶν
above head going-to-set saying to-have-come of-the-dead
κευθμῶνα καὶ σκότου πύλας λιπόν.
the-hiding-place and of-darkness the-gates having-left
BUYER Πόσου τοῦτον ἀποκηρύττεις;
at-how-much this(-one) do-you-auction
HERMES Μνῶν δυεῖν.
at-minas two
BUYER Καὶ μὴν ἐμοὶ μᾶλλον ἔδει δοθῆναι τὰς μνᾶς
and indeed to-me rather it-was-needful to-be-given the minas
ἐξ ὑμῶν ταυτασί, τοῦ Αἶ, αἶ, καὶ τοῦ Ὤ μοι μοι,
by you these from-the(-cry) alas alas and the(-cry) oh me me
καὶ τοῦ Ἰὼ ἰώ, καὶ τῶν ἄλλων τῶν τοιούτων ὑμᾶς
and the(-cry) io io and the other(-cries) the such you
ἀπαλλάξοντι. Ὅμως ἔχω τοσούτου λαβών, εἴ μοι
going-to-rid nevertheless I-have(-him) for-so-much having-taken if to-me
μόνον τὸ εἴδωλον παραστήσειν ἐπαγγέλληται τῆς παιδός.
only the phantom to-set-beside he-promises of-the girl
HERMES Ῥᾴδιον τοῦτό γε, καὶ παρέπεταί σοι ὅσον οὐδέπω
easy this — and accompanies you all-but already
τὸ κόριον, γυμνῇ τῇ ψυχῇ, κρύπτουσ᾽ ἃ κρύπτειν
the little-girl with-bare the soul hiding what to-hide

ὄμματ᾽ ἀρσένων χρεών. Ἀλλ᾽ ἤδη ἄπιτε, καὶ οἴκοι αὐτὸν
the-eyes of-males it-is-fitting but now go-away and at-home him
ἀνάκρινε τὰ λοιπά.
examine-about the rest

III · POMPONIUS AND DEMOSTHENES

Hermes offers Pomponius, a Roman lawyer, who promises riches through Latin terms, shamelessness, and abuse in court; he is sold for a mina and a half. The orator Demosthenes is praised as a patriot, and Hermes, offering him as a soldier too, says he would throw away his shield and be first through the gates, which the buyer mocks. He is sold at the same price, losing his crown and his purse; Zeus closes the sale and keeps the perfumed Cucycnus for next year.

HERMES Σὺ δὲ ὁ ἀλαζὼν, ὁ ἀπὸ τῆς Ῥώμης,
you and the braggart the(-one) from — Rome
κατάβαινε. Βίος οὗτος ὁ δικαιότατος, καὶ πολιτικώτατος.
come-down a-life this the most-just and most-political
Τίς ὠνεῖται τὸν νομοθέτην; τίς εὐδοκιμεῖν ἐπὶ δικασπολείων
who buys the lawgiver who to-be-well-reputed in law-courts
ἐθέλει;
wishes

BUYER Καὶ τί σε, ὦ Ῥωμαῖε, εἰδέναι φαίημεν;
and what you O Roman to-know should-we-say

POMPONIUS Λέγε.
lege

BUYER Ἀλλ᾽ ἐγὼ ἤδη εἶπον· σὲ δὲ λοιπὸν ἀποκρινεῖσθαι
but I already said you and for-the-rest to-answer
καιρός.
the-time(-it-is)

HERMES Οὐ γὰρ τῆς φωνῆς, ὦ ξένε, συνῆκας, Ἕλλην
not for the language O stranger you-understood a-Greek
ὤν. Ὁ δέ σοι νόμον εἰδέναι φησίν. Νόμος γὰρ τὸ Λέγε
being he and to-you law to-know says law for the lege
παρὰ Ῥωμαίοις.
among Romans

BUYER Εὖ γε ποιεῖς, ὦ Λόγιε, τὰ ὑποδύσκολα
well — you-do O Eloquent(-one) the rather-difficult
ταῦτα καὶ δεινῶς βαρβαρικὰ ἐξηγούμενος κάλλιον,
these and terribly barbarous expounding better
ἢ ὅλοι Πρόκλοι τοὺς Ἀλκιβιάδας καὶ τοὺς
than whole Procluses the Alcibiadeses and the
Τιμαίους. Πῶς δὲ καὶ καλεῖσθαί σε ἀξιώσομεν, ὦ
Timaeuses how and also to-be-called you shall-we-deem O
νομοθέτα;
lawgiver

POMPONIUS Πομπώνιη νόμηνε.
Pomponius nomine

BUYER Φέρε, ὦ ἐξηγητῶν γενναιότατε· ἀποσάφει καὶ τὰ
come O of-expounders noblest make-clear also the
λοιπὰ τοῦ Λοξίου.
rest — of-Loxias

HERMES Πομπώνιός σοι καλεῖσθαι φησί. Ῥώμης δὲ θυγάτηρ
Pomponius for-you to-be-called he-says of-Rome and daughter
ἡ κλῆσις.
the name

BUYER Φάθι δὴ, ὦ Πομπώνιε· τί μοι πριαμένῳ σε
speak indeed O Pomponius what to-me having-bought you
χρησιμεύσεις; ἢ μᾶλλον αὐτὸς ἀπόκριναι, Ἀργειφόντα, τὴν
will-you-be-useful or rather yourself answer Argus-slayer the

λέξιν μεταφέρων ἐς τὸ Ἑλληνικὸν, κατὰ τὸν νόμον
word carrying-over into the Greek according-to the law
τῶν ἑρμηνέων.
of-the interpreters

HERMES Θάῤῥει, καὶ Ἀττικὰς γὰρ οὐκ ἀπαίδευτος
take-heart even Attic for not uneducated-in
Μούσας ὁ νομοθέτης, ἀλλὰ βραχυλογίας χάριν τὴν
Muses the lawgiver but of-brevity for-the-sake the
Ῥωμαΐδα μεταδιώκει, καὶ ἅμα σέβων τὰ
Roman(-tongue) pursues and at-the-same-time revering the(-ways)
πάτρια.
of-his-fathers

BUYER Τί μοι γοῦν χρησιμεύσεις, ὦ παντοῖε σύ; καὶ τί
how to-me then will-you-be-useful O all-round you and how
σοι χρησαίμην ἐωνημένος;
you should-I-use having-bought

POMPONIUS Περίβλεπτον μέν σε ποιήσω τῇ πόλει· χρυσίον
conspicuous indeed you I-will-make in-the city gold
δέ σοι πορίσω πάνυ πολύ.
and for-you I-will-provide very much

BUYER Πόθεν, ὦ ἑταῖρε, πενέστης ὤν; εἰ μὴ καὶ παρὰ
whence O comrade a-poor-man being if not also with
Ἑρμῇ τουτωῒ τὴν κλεπτικὴν ἐτελέσθης;
Hermes this the thieving(-art) you-were-initiated-into

POMPONIUS Καὶ μὴν πολλοῦ κλωπιτεύειν δεήσει τῷ
and indeed much to-steal it-will-lack the(-one)
τοὺς ποινίμους νόμους θεμένῳ κατὰ κλεπτῶν,
the penal laws having-laid-down against thieves
καὶ περὶ τῆς φούρτι τὰ εἰκότα φιλοσοφήσαντι.
and about the furti the(-things) fitting having-philosophized
Σὺ δὲ σκώπτεις ἀναφανδὰ, καίτοι δεδιέναι ἔδει,
you and mock openly and-yet to-fear one-ought

μή σε καὶ φαμόσου γραψαίμην παρὰ τοῖς
lest you also of-famosum I-should-indict before the(-ones)
κρίνουσι.
judging

HERMES Ἀλλ' οὐδ' ἡμεῖς ἀξύνετοι νόμων, ὦ νομοθέτα, ὡς
but not-even we ignorant of-laws O lawgiver so-as
δούλῳ πιστεύειν λαλοῦντι κατὰ δεσπότου. Εἰ μὴ ἄρα καὶ
a-slave to-believe speaking against a-master if not then also
βανίσαντας χρὴ πρῶτον, ἔπειτα μέντοι τὸ κατηγόρημα
having-tortured one-must first then however the accusation
παραδέχεσθαι.
accept

POMPONIUS Νὴ Δί', ὀναίμην ἂν τῆς νομοθεσίας, εἰ
by Zeus I-would-profit — from-the legislation if
καὶ μάστιγας ὑπέχειν μέλλοιμι, κατὰ δραπετίσκον
even whips to-undergo I-were-about like a-little-runaway
ἀλώνητον.
unbought

BUYER Σὺ δὲ ἀλλ' εἰπέ μοι, τίνα δὴ καὶ
you and but tell me what indeed also
ἐνεργησάμενος ἐν εὐπορίᾳ τοῦ τοσούτου γενοίμην
having-done in abundance of-the so-much should-I-be
χρυσοῦ;
gold

POMPONIUS Ὡς πάνυ σαφῆ καὶ εὔπορα, καὶ μικρά.
how very clear and easy and small(-things)
Πρῶτα μὲν γὰρ ἐκμάθῃς ἄττα δὴ τῶν καθ'
first indeed for you-should-learn some indeed of-the among
ἡμᾶς ὀνομάτων· οἷον τὴν βέρβις, τὴν κονσένσο, τὸν
us names such-as the verbis the consenso the
κονδικτίκιον, καί τινας ἄλλας τῶν ἀπὸ Ῥώμης φωνῶν,
condicticium and some other of-the from Rome words

τούς τε Κουράτωρας, καὶ τοὺς Προκουράτωρας, καὶ
the both Curators and the Procurators and
τοὺς ἰνφάντι, καὶ τοὺς πουβέρτατι, τοὺς ἀπελευθέρους,
the infanti and the pubertati the freedmen
ἔτι γε μὴν καὶ τοὺς πάτρωνας· καὶ μετὰ τῶν τοιούτων
still — truly also the patrons and with the such
ὅπλων ἐπὶ δικασπολεῖα χωρήσεις. Μεμνήσῃ μέντοι καὶ
weapons to law-courts you-will-go you-will-remember however also
λιβέλλων, καὶ ὅρκων, καὶ τοῦ προχειροτάτου τούτου
petitions and oaths and of-the most-handy this
τῆς ἐκκλήτου ὀνόματος. Καὶ ταῦτα, εὖ ἴσθι, χρυσοῦ
of-the appeal name and these-things well know of-gold
μέν σοι πλίνθους ὅλας, ὡς τῷ Πυθίῳ, παρέξεται, καὶ
indeed for-you bricks whole as for-the Pythian will-provide and
στολὰς, καὶ οἴκους, καὶ ἵππους, καὶ ἡμιόνους, καὶ ἐν
robes and houses and horses and mules and in
ἀκαρεῖ Κροῖσόν σε ἄλλον, καὶ Μίδαν, ἀντὶ τουτουΐ τοῦ
an-instant a-Croesus you another and a-Midas instead-of this the
πενομένου ἐργάσεται. Μόνον ἡ ἀναισχυντία προηγείσθω,
poor(-man) will-make only the shamelessness let-lead
καὶ ἑπέσθω ἡ φλυαρία, καὶ συμπαρομαρτείτω ἡ
and let-follow the babble and let-accompany the
στωμυλία, καὶ φθέγμα τραχὺ, καὶ ἄντικρυς μελαγχολῶντος
chatter and voice rough and outright of-one-raving
κατάστημα, καὶ ἐμβαΰζειν τῷ συνεδρίῳ, καὶ ὅλας ἁμάξας
the-bearing and to-bark-at the court and whole wagons
λοιδοριῶν καταχεῖν τοῦ ἀντιδικοῦντος· ἐνίοτε δὲ καὶ
of-abuse to-pour-down on-the opponent sometimes and also
ἐμπηδᾷν τῷ προσδιαλεγομένῳ κατὰ προσώπου, ὡς
to-leap-at the(-one) disputing to face as
ἁρπάσαντά οἱ τὸ πρόσθιον τῆς ῥινὸς, καὶ οὕτω
having-snatched from-him the front of-the nose and so

νικᾶν δοκεῖν καὶ ἀπιέναι μετὰ φυσήματος. Ταῦτα
to-win to-seem and to-go-away with blowing these-things
μὲν οὖν τοιαῦτα. Τὰ γὰρ δὴ κρυφιώτερα τῆς
indeed then such(-they-are) the(-things) for indeed more-secret of-the
τέχνης καὶ μυστικώτερα, ὅσα περὶ μισθώσεών τε καὶ
art and more-mystic all-that about leases both and
ἐκμισθώσεων, καὶ πράσεων, καὶ κοινωνιῶν, δούλων τε
lettings and sales and partnerships slaves both
αἰτίων —
culpable

BUYER Ταῦτα μὲν ἐς τοὔμπροσθέν με, ὦ νομοθέτα,
these-things indeed in the-future me O lawgiver
μυσταγωγήσεις. Τὴν μέντοι περὶ ὧν ἔφης δούλων
you-will-initiate-into the however about which you-said slaves
αἰτίων διδασκαλίαν, ἀνάγκη μὴ ὑπερθέσθαι τανῦν·
culpable teaching it-is-necessary not to-put-off now
ἵνα πολὺ πρότερον ἐπὶ σοῦ τοῖς διδαχθεῖσιν
so-that much first on you the(-things) taught
ἀποχρησαίμην, καὶ μὴ ἄν σε πόῤῥω νομικῆς ἀκριβολογίας
I-may-make-full-use-of and not — you far-from legal precision
ἀνακρινοίμην.
would-examine

HERMES Ἔα ταῦτα, καὶ λαβὼν ἀνάκρινε οἴκαδε·
let-be these-things and having-taken(-him) examine(-him) at-home
ὡς ἐάν τι τῶν νόμοις ἀπειρημένων αἰτίων
since if any(-thing) of-the by-laws forbidden faults
νοσοίη Πομπώνιος, ἐξεῖναί σοι μέχρι καὶ τοῦ
should-suffer-from Pomponius it-is-possible for-you until even the
ἐς αὖθις πρατηρίου, φυλοκρινοῦντι τὸν ἄνθρωπον,
for next sale distinguishing the man

εἶτα εἰς ἡμᾶς ποιεῖσθαι παλίμπεμπτον, μηδὲν ἐντεῦθεν
then to us to-make(-him) sent-back nothing thence
προχριματιζομένῳ.
being-prejudged

BUYER Καὶ δὴ πόσου τοῦτον τιμᾷ;
and indeed at-how-much this(-one) do-you-value

HERMES Μνᾶς πρὸς τῇ ἡμίσει μιᾶς.
a-mina besides the half of-one

BUYER Ἔχω λαβών. Πλὴν ὅπως καὶ τὰ
I-have(-him) having-taken(-him) only that also the(-things)
ὑπεσχημένα φυλάξαιο.
promised you-may-keep

HERMES Ἄπιτε ἀγαθῇ τύχῃ. Ὁ ῥήτωρ κατάβηθι. Βίος
go-away with-good fortune the orator come-down a-life
οὗτος, ὦ ἄνδρες, δημωφελὴς, καὶ πολιτικὸς, κἀδελφὸς
this O men useful-to-the-people and political and-a-brother
τὰ πάντα τῷ νομοθέτῃ· πλὴν ὅπως οὐ μιξέλλην ἐστὶ
in all to-the lawgiver only that not half-Greek he-is
κατ᾽ ἐκεῖνον, ἀλλὰ καθαρῶς Ἀττικὸς, καὶ μένος πνέων
like that(-one) but purely Attic and might breathing
Ἀθηναίου πυρός.
of-Athenian fire

BUYER Τίς δὲ δὴ τυγχάνει ὢν, καὶ τίσι τοῦτον ἔχεις
who and indeed does-be-happen being and by-what him are-you-able
ἀποσεμνύνειν;
to-extol

HERMES Πολίτης μὲν Ἀθηναῖος, καὶ τοῦ δήμου
a-citizen indeed Athenian and of-the deme
Παιανιεὺς, δριμύτατος δὲ δικάσασθαι, καὶ πιθανώτατος
of-Paeania sharpest and to-plead and most-persuasive
συμβουλεύσασθαι, τῶν τε ἑαυτοῦ ἐχθρῶν κατηγορῆσαι
to-counsel the both his-own enemies to-accuse

βαρύτατος, καὶ ἑαυτῷ τὰ πάνσεμνα ἐπιμαρτύρασθαι
heaviest and to-himself the most-august(-things) to-attest
ἀοκνότατος. Οὐ μέτρια δὲ καὶ τὴν πατρίδα, τὰς Ἀθήνας,
most-unhesitating not moderately and also the fatherland — Athens
ὠφέληκεν· ἐκ γὰρ τῆς Εὐβοίας ὁ βασιλεὺς ἐξηλάθη
has-he-helped from for — Euboea the king was-driven-out
Φίλιππος τοῖς μὲν ὅπλοις ὑπ᾽ Ἀθηναίων, τῇ δὲ
Philip by-the indeed arms by Athenians by-the and
πολιτείᾳ καὶ τοῖς ψηφίσμασι, κἂν διαῤῥαγῶσί τινες,
policy and the decrees even-if burst some
ὑπ᾽ αὐτοῦ. Ἀλλὰ καὶ ὁ βοηθήσας τοῖς Βυζαντίοις,
by him but also the(-one) having-helped the Byzantines
καὶ σώσας αὐτοὺς, καὶ κωλύσας τὸν Ἑλλήσποντον
and having-saved them and having-prevented the Hellespont
ἀπαλλοτριωθῆναι κατ᾽ ἐκείνους τοὺς χρόνους, οὐκ ἄλλος
to-be-alienated in those the times not another
ἢ οὗτος, ὁ τῇ πόλει λέγων, καὶ πράττων, καὶ
than he the(-one) to-the city speaking and doing and
γράφων, καὶ ἁπλῶς αὐτὸν εἰς τὰ πράγματα ἀφειδῶς
writing and simply himself to the affairs unsparingly
διδούς. Καὶ ἡ πόλις δὲ δι᾽ οὐδένα ἐστεφάνωται
giving and the city and through no-one has-been-crowned
ἄλλον, σύμβουλον λέγω καὶ ῥήτορα, ἢ διὰ τοῦτον.
other counselor I-mean and orator than through him
Εἰ δὲ καὶ πρέσβυν αὐτὸν ὁ δῆμος χειροτονήσει, οὐδενὸς
if and also ambassador him the people should-elect for-nothing
ἂν τῶν ἁπάντων καταπροέηται τὸ φιλόπατρι, καὶ
— of-the all would-he-betray the love-of-country and
τὴν τῶν Ἀθηναίων ἐλευθερίαν· οὐδ᾽ ἂν ὅλους αὐτῷ
the of-the Athenians freedom not-even — whole to-him
θημῶνας χρυσίου φέρων, διδοίη Φίλιππος. Βλασφημεῖ
heaps of-gold bringing could-give Philip blasphemes

δὲ ὁ λέγων περὶ αὐτοῦ, ὡς σιωπᾷ μὲν λαβὼν,
and the(-one) saying about him that he-is-silent indeed having-taken
βοᾷ δ' ἀναλώσας· μόλις γὰρ καὶ τουτὶ τὸ φασκώλιον
shouts and having-spent scarcely for even this the little-purse
χρυσίου πλῆρες λαβεῖν ἐπείσθη, δόντος τοῦ
of-gold full to-take was-he-persuaded having-given(-it) the
Μακεδόνος.
Macedonian

BUYER Παπαί· ἀκαταδούλωτόν τι λέγεις τὸ χρῆμα,
pah unenslavable a you-call the thing
καὶ δεινῶς ἐλεύθερον. Ὁ δὲ ἄρα χρυσοῦς οὑτοσὶ
and terribly free the and then golden this
στέφανος τί ποτε αὐτῷ βούλεται τὴν κεφαλὴν
crown what ever for-him means the head
περικείμενος;
lying-around

DEMOSTHENES Ἡ πόλις ἐστεφάνωσέ με, Διονυσίων ἀγομένων,
the city crowned me the-Dionysia being-held
Κτησιφῶντος τοῦ Λεωσθένους Ἀναφλυστίου δόντος
Ctesiphon the(-son) of-Leosthenes of-Anaphlystus having-given
τὴν γνώμην· «Ὡς ἄρα δεῖ στεφανῶσαι Δημοσθένην,
the motion that then it-is-needful to-crown Demosthenes
Δημοσθένους, Παιανιέα, ἀρετῆς ἕνεκα, καὶ εὐνοίας, ἧς
son-of-Demosthenes of-Paeania of-virtue for-the-sake and of-goodwill which
ἔχων διατελεῖ εἴς τε τοὺς Ἕλληνας ἅπαντας, καὶ
having he-continues toward both the Greeks all and
τὸν δῆμον τῶν Ἀθηναίων, ἀνδραγαθίας χάριν· καὶ ὅτι
the people of-the Athenians of-manly-virtue for-the-sake and because
διατελεῖ πράττων καὶ λέγων τὰ βέλτιστα τῷ δήμῳ.»
he-continues doing and saying the best(-things) for-the people
Ταύτη μοι ὁ στέφανος δέδοται. Καλῶ δὲ τοὺς Θεοὺς
in-this(-way) to-me the crown has-been-given I-call and the Gods

ἅπαντας καὶ ἁπάσας, καὶ τὸν δῆμον τῶν Ἀθηναίων, καὶ
all and all(-goddesses) and the people of-the Athenians and
τὸν Ἀπόλλω τὸν Πύθιον, ὃς πατρῷός ἐστιν Ἀθήνησι,
— Apollo the Pythian who ancestral is at-Athens
καὶ ἐπεύχομαι πᾶσι τούτοις, εἰ μὲν ἀληθῆ ταῦτα πρὸς
and I-pray to-all these if indeed true these-things to
σὲ εἶπον, εὐτυχίαν μοι δοῦναι καὶ σωτηρίαν· εἰ δὲ
you I-have-said good-fortune to-me to-give and safety if but
τοὐναντίον ἅπαν, πάντων τῶν ἀγαθῶν ἀνόνητόν με
the-opposite wholly of-all the goods unprofiting me
ποιῆσαι.
to-make

BUYER Γενναῖά σου ταῦτα, ὦ ῥῆτορ, καὶ ἐπιεικῶς
noble your these-things O orator and fairly
ἀνδρικά.
manly

HERMES Τί δὲ ὁποῖός τις ἐστι τὰ πολεμικά,
what and of-what-sort he is in-the warlike(-things)
ἀγνοεῖς;
are-you-ignorant

BUYER Πάνυ μὲν οὖν.
quite indeed so

HERMES Ἀλλ' εὖ ἴσθι τὸν ἀλκιμώτατον ὠνούμενος
but well know the most-valiant you-are-buying
στρατιώτην· ὃς καὶ αὐτὴν ἀποῤῥίψας τὴν ἀσπίδα, πρὸ
soldier who even itself having-thrown-away the shield before
τῶν λοιπῶν ταχὺ τὰς τῆς πόλεως πύλας ἀναπτύξειεν
the rest quickly the of-the city gates would-throw-open
ἄν.
—

BUYER Χαρίεν τοῦτο λέγεις· εἴπερ λειποταξίου τὸν ἄνδρα
charming this you-say if-indeed for-desertion the man
γραφόμενος, καὶ δεινῶς ῥίψασπιν ὀνομάζων, ἔπειτα τῷ
indicting and terribly a-shield-thrower naming then with-the
τοῦ στρατιώτου αὐτὸν ἀποσεμνύνεις ὀνόματι, καὶ τούτου
of-the soldier him you-extol name and this
γε τοῦ ἀλκιμωτάτου.
— *the most-valiant*

HERMES Οὐ γὰρ ἠκροάσω αὐτοῦ πρὸς τὴν πόλιν
not for did-you-hear him to the city
ἀνδρεῖα ἅττα γνωμολογοῦντος, ὡς ἄρα «Πέρας
manly some(-things) uttering-maxims that then end
μὲν ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν
indeed for-all men is of-the life death even-if
ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ. δεῖ δὲ
in a-little-room one himself having-shut-up keeps it-is-needful and
τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς
the good men to-set-hand indeed to-all always the
καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν
fine(-things) the good holding-before hope to-bear
δ' ὅ, τι ἂν ὁ Θεὸς διδῷ, γενναίως.» Ταῦτά
and what ever — — God gives nobly these-things
σοι οὐ μεγαλόψυχα, καὶ ἡρωϊκὰ, καὶ ἀτεχνῶς Ἄρεος
to-you not great-souled and heroic and simply of-Ares
ῥήματα;
words

BUYER Πάνυ τι. Ἐγὼ δ', οὐκ οἶδ' ὅπως, οὐκ εὔκολός
very much I and not I-know how not easy
εἰμι πείθεσθαι, λόγοις τὸν στρατιώτην χειροτονεῖν, μὴ δὲ
am to-be-persuaded by-words the soldier to-elect not and

ἂν χειρὶ καὶ τόλμῃ. Πόσου δὲ ὅμως ἀποκηρύττεις
— *by-hand and daring at-how-much and nevertheless do-you-auction*
τὸν στρατιώτην;
the soldier

HERMES Ὁπόσου γε καὶ τὸν νομοθέτην.
at-as-much-as — also the lawgiver

BUYER Καταβάλλω· καὶ λάμβανε· ὦ δημοκρατία καὶ
I-pay-down and take(-it) O democracy and
νόμοι.
laws

DEMOSTHENES Περιαιρεῖ μου τῆς κεφαλῆς τὴν στεφάνην,
he-takes-off my from-the head the crown
ὁ ἱερόσυλος, δι' ἧς ὁ δῆμος ἐστεφάνωσέ
the temple-robber with which the people crowned
με, καὶ ἡ βουλὴ, ἐν Διονυσίοις. Ἡράκλεις,
me and the council at the-Dionysia Heracles
ὦ ἄνδρες Ἀθηναῖοι· ὡς συναφαιρεῖται καὶ τὸ
O men Athenians how is-taken-off-with(-it) also the
φασκώλιον.
little-purse

BUYER Ὦ τῆς ἀναισχυντίας· τούτους ἐκείνους ἀναβοᾷ,
O the shamelessness these those(-ones) does-he-call-on
οὓς τοσούτου Φιλίππῳ προδέδωκας;
whom for-so-much to-Philip you-betrayed

DEMOSTHENES Νὴ Δί', οὓς ἐξεσωσάμην Φιλίππου.
by Zeus whom I-saved from-Philip

ZEUS Ταῦτα, ὦ Δημόσθενες, Ἀθήνησί σε δικομαχοῦντα
these-things O Demosthenes at-Athens you contending-in-court
λέγειν ἐχρῆν· νῦν δὲ, ἤδη γὰρ πέπρασαι, ὑπεικάθειν
to-say one-ought now and already for you-have-been-sold to-yield
ἄν σοι κάλλιον εἴη τῷ πριαμένῳ·
— for-you better would-be to-the(-one) having-bought(-you)

ὥσθ᾽ ὑμῖν μὲν ἀπιτέα τῶν ἐνθαδί.
so-that for-you indeed one-must-go-away from-the(-things) here
Ἡμεῖς δὲ, ὦ Ἑρμῆ, ἀνίωμεν ἤδη παρὰ τὸν
we and O Hermes let-us-go-up now to —
Ὄλυμπον, τῆς ἀμβροσίας ἀποτραγοῦντες, καὶ τοῦ
Olympus the ambrosia going-to-munch and the
νέκταρος ἐκροφήσοντες. Τὸν μέντοι χλιδῶντα τοῦτον
nectar going-to-gulp-down the however luxurious this
τὸν εὐπάρυφον, τὸν ἐπὶ τῶν μύρων, ᾧ
the purple-bordered(-one) the(-one) over the perfumes whose
Κυκύκνος τοὐπίκλην, διὰ δῆθεν τὸ μουσικὸν, εἰς
Cucycnus the-surname because-of forsooth the musical to
νέωτα φυλάξασθαι ἄμεινον, τοῖς ἀγοραίοις βίοις
next-year to-keep(-him) better with-the marketplace lives
συνεμπολη θησόμενον.
to-be-sold-together

THEODORE PRODROMOS

KATOMYOMAXIA

The Battle of the Cat and the Mice

I · THE COUNCIL OF THE MICE

Creillus urges Tyrocleptes to end their life of fear in the mouse-holes and make war on the cat that killed his daughter and Tyrocleptes' children. He tells of a dream in which Zeus promised him victory, and on Tyrocleptes' counsel summons the mice. He boasts to them of his training and orders them to arm by morning. The chorus fears for him; at dawn, after sacrifice, they march.

CREILLUS Τί τὸν τοσοῦτον ἀνδρικώτατοι χρόνον
why the so-long most-manly-ones time
μένοντες εἴσω τῶν ὀπῶν ἀεννάως
remaining inside the holes ceaselessly
δείμῳ σύνεσμεν καὶ φρίκῃ καὶ δειλίᾳ
with-fear do-we-dwell and shuddering and cowardice
καὶ δυσμόρως δίμεν οἰκεῖον βίον,
and miserably pass-through own life
μηδὲ προκύψαι τῆς ὀπῆς ᾑρημένοι, 5
not-even to-peep-out of-the hole having-chosen
ἀλλ' οἰκτρότατοι καὶ φόβου πεπλησμένοι
but most-pitiable and with-fear filled
βίον σκοτεινὸν ἀθλίως μυωξίαις
a-life dark wretchedly in-mouse-holes
ζῶμεν, καθώσπερ οἱ πεφυλακισμένοι,
we-live just-as the(-ones) imprisoned
καὶ νύκτα τὸν σύμπαντα τοῦ χρόνου δρόμον
and night the whole of-the time course
μακρὰν δοκοῦμεν καὶ σκιὰν τοῦ θανάτου, 10
long we-think and shadow of-the death
ὡς οἱ ζοφώδεις Κιμμέριοι τοῦ λόγου,
like the gloomy Cimmerians of-the story

οἳ Ποντικῶν ἔχοντες ἀμβλυωπίαν
who of-the-Pontic-folk having the-dim-sightedness
ζόφωσιν ἑξάμηνον εἷλκον τοῦ βίου;
a-darkness six-months-long drew of-the life
TYROCLEPTES κἂν μὴ θέλωμεν, ἐσμὲν ἐν μυωξίαις.
even-if not we-wish we-are in mouse-holes
εἰ γὰρ προελθεῖν, ὡς λέγεις, θαρραλέως
if for to-go-forth as you-say boldly
τολμήσομεν βαίνοντες ἀσχέτῳ δρόμῳ,
we-shall-dare going with-unchecked course
τάχιστ᾽ ἂν ἐμπέσοιμεν αἰπεῖ κινδύνῳ,
very-quickly — we-would-fall-into sheer danger
καὶ προὐμμάτων ἴδοιμεν οἰκείων μόρον,
and before-the-eyes we-would-see of-our-own doom
καὶ τὸν σκοτεινὸν Ἀιδωνέως τόπον
and the dark of-Aidoneus place
λάβοιμεν ἀντίποινον ἀκρατωσύνης.
would-take as-requital for-incontinence
CREILLUS πῶς γοῦν παρεμπέσοιμεν ὡς φὴς κινδύνῳ,
how then might-we-fall-into as you-say danger
καὶ τὸν βίον λίποιμεν ἀθλίῳ μόρῳ;
and the life leave by-wretched doom
TYROCLEPTES ληφθέντες εἴσω τῶν φρικωδῶν χειλέων
caught within the dread lips
τῆς ἅρπαγος, Κρεῖλλε, τῆς δολοπλόκου.
of-the robber Creillus the guile-weaving
CREILLUS τίς ἔστιν αὕτη; μὴ φθονήσῃς τοῦ λέγειν·
who is she not begrudge the to-tell
οὐ γὰρ προχείρως τῷ σκοπῷ περιστρέφω.
not for readily the aim do-I-turn-about

TYROCLEPTES ἣν κάταν ὠνόμασεν ἀνθρώπων γένος.
whom cat named of-men the-race

αὕτη γὰρ ἀεὶ χηραμοὺς περιβλέπει,
she for always holes looks-around

καὶ μῦς ἐρευνᾷ καὶ καθώσπερ οἱ κύνες
and mice searches-out and just-as the dogs

ἰχνηλατοῦσι τοὺς λαγωοὺς ποικίλως,
track the hares variously

τὸν αὐτὸν αὕτη σκανδαλοπλόκως τρόπον
the same she with-snare-weaving manner

ἡμᾶς διιχνεῖ λυγγικὸν βλέπουσά τι.
us tracks-down lynx-like looking somewhat

CREILLUS οἶδ' ἥνπερ ἡρμήνευσας ἠκριβωμένως.
I-know whom you-have-explained precisely

καὶ γὰρ πρὸ καιροῦ τὴν ἐμὴν θυγατέρα
and for before time the my daughter

(Λυχνογλύφον δέ φημι τὴν πεφιλμένην)
Lychnoglyphos and I-mean the beloved

οἰκτρῶς κατημάλαψε φεῦ μοι προὐμμάτων.
pitifully she-crushed alas for-me before-my-eyes

TYROCLEPTES κἀμοῦ τὸ τέκνον τὴν φίλην Λαρδοκόπον
and-my the child the dear Lardocopos

καὶ τὸν ποθεινὸν Σιτοδάπτην καὶ φίλον
and the longed-for Sitodaptes and dear

εἰς ἐκδίκησιν τῆς ἀδελφῆς ἡκότα.
for vengeance of-the sister having-come

CREILLUS τί γοῦν; κατοκνήσωμεν ὡς θηλυδρίαι
what then shall-we-sbrink like effeminates

καὶ παρίδωμεν τὸν φόνον τῶν φιλτάτων;
and overlook the murder of-the dearest

TYROCLEPTES καὶ τί προσῆκον ἐργάσασθαι τυγχάνει;
and what fitting to-do happens

CREILLUS εἰς ἀντάμυναν ἀπιδεῖν τῆς παμφάγου
for revenge to-look on-the all-devourer

καὶ τῶν θανόντων ἐκδικῆσαι τὸν μόρον.
and of-the dead to-avenge the doom

TYROCLEPTES ποίῳ τρόπῳ; κάτειπε σὺν σαφηνίσει.
in-what manner tell with clearness

CREILLUS μόθον πρὸς αὐτὴν ἀτρόμως τετευχότες.
battle against her fearlessly having-made

TYROCLEPTES δέδοικα ναὶ δέδοικα μὴ πεφασμένοι
I-fear yes I-fear lest having-been-killed

χἠμεῖς φανῶμεν καὶ κακῶς βεβρωμένοι,
we-too may-appear and badly eaten

καὶ κύρμα κάτης φεῦ γενώμεθα ξένον.
and booty of-the-cat alas may-become strange

CREILLUS καὶ τοῦτο δεῖν ἔκητι τῶν τεθνηκότων·
and this needful for-the-sake-of the dead

καὶ γὰρ γινώσκεις τοὺς γραφαῖς αἰνουμένους
and for you-know the(-ones) in-writings praised

τῶν συγγενῶν ἔκητι καὶ τῶν γνωρίμων,
of-the kinsmen for-the-sake-of and of-the acquaintances

παίδων ἀδελφῶν συζύγων φυτοσπόρων,
children brothers spouses fathers

θανόντας ἀπλήρωτον ἕλκοντας κλέος.
having-died insatiable drawing glory

TYROCLEPTES ἴσημαι πάντως· ἀλλὰ δεινὸν τυγχάνει
I-know wholly but terrible it-is

λιπεῖν τὸ λαμπρὸν στάδιον τῆς Ἡμέρας
to-leave the bright stadium of-the Day

καὶ τῷ σκοτεινῷ συγκαλυφθῆναι τάφῳ.
and in-the dark to-be-covered tomb

CREILLUS οὐκ οἶδας ᾗ μέγιστον ἄρωμεν κράτος
not you-know how greatest we-may-win power
καὶ πικροτάτῳ τήνδε δώσομεν μόρῳ;
and most-bitter her we-shall-give-to doom

TYROCLEPTES ὅτῳ τρόπῳ σύναιμε σαφήνιζέ μοι. 60
in-what manner kinsman make-clear to-me

CREILLUS αὐτῇ μαχησμὸν συστάδην δεδρακότες.
with-her a-battle in-close-combat having-done

TYROCLEPTES κρεῖττον δοκεῖ μοι συμβαλεῖν λαθριδίως.
better it-seems to-me to-engage secretly

CREILLUS ποία δ' ὄνησις λάθρα τοῦ προσιέναι;
what and profit secretly of-the to-approach

TYROCLEPTES εἰ γὰρ προγνώσῃ τῷ δόλοις προσανέχειν
if for she-should-foreknow by-the guile to-attend
ὡς εἰς μαχησμὸν αἱρετὸν συνεστάναι, 65
so-as into battle chosen to-stand-together
καὶ συμμάχων ὅμιλον εἰς αὐτὴν λάβοι,
and of-allies a-throng to herself should-take
καὶ συμβαλοῦσα τηνικαῦτα τὸ στέφος
and having-engaged then the crown
ἀρεῖ παριππεύσασα τὴν ἡμῶν ἴλην.
will-carry-off having-ridden-past the our troop

CREILLUS χἠμεῖς κατ' ἴσον συμμάχων ὁμηγύρεις
we-too on equal-terms of-allies assemblies
λάβωμεν εἰς ἄρηξιν ὡς εἰθισμένον. 70
let-us-take for help as accustomed

TYROCLEPTES οὐκ οἶσθα πῶς τὸν πρὶν συνιστῶντες μόθον
not you-know how the former joining battle

πρὸς τὸ στράτευμα τῶν γαλῶν καὶ βατράχων,
against the army of-the weasels and frogs
καὶ συμμάχων κράτιστον εἶχομεν νέφος;
and of-allies mightiest we-had a-cloud
CREILLUS ἴσημι πῶς κάκιστον εἴδομεν μόρον
I-know how most-evil we-saw doom
παίδων ὁμεύνων γνωρίμων φυτοσπόρων·
of-children wives acquaintances fathers
μικροῦ δ' ἀπωλώλειμεν ἡμεῖς τῷ τότε.
within-a-little and had-perished we at-the then(-time)
TYROCLEPTES δέδοικα καὶ νῦν μὴ θάνωμεν τῷ μόθῳ.
I-fear even now lest we-die in-the battle
CREILLUS οὔ, νὴ θεῶν πλήρωμα τῶν οὐρανίων.
no by of-gods the-fullness the heavenly
εὔελπίς εἰμι καὶ γὰρ ἐξ ὀνειράτων.
hopeful I-am and for from dreams
TYROCLEPTES τί γοῦν; ὄνειρον ἐμφανῶς ἑωράκεις;
what then a-dream clearly had-you-seen
CREILLUS ὁ Ζεὺς γὰρ ὤφθη κατ' ὄναρ κνώσσοντί μοι,
— Zeus for appeared in dream sleeping to-me
καὶ θάρσος ἐντέθεικε τῇμῇ καρδίᾳ,
and courage put in-my heart
καί 'χαῖρε, λήψῃ' προσπεφώνηκε 'κράτος'.
and hail you-will-take addressed(-me) power
TYROCLEPTES τίνι προσωμοίωτο; καὶ τοῦτο φράσον.
to-whom was-he-likened and this tell
CREILLUS τῷ Τυρολοιχῷ τῷ φρονίμῳ πρεσβύτῃ.
— to-Tyroloichos the wise old-man
TYROCLEPTES πῶς δ' οὐκ ἐπ' αὐτῶν ὡράθη σοι τῶν θρόνων;
how and not on the-very was-he-seen by-you the thrones

CREILLUS ἐμαῖς ἀπειλαῖς ὡράθη πτοιαλέος.
at-my threats he-was-seen terrified

TYROCLEPTES τί γοῦν; ἐπηπείληκας αὐτῷ τῷ πόλον
what then did-you-threaten him the(-one) the-heaven

οἰκοῦντι καὶ λέγοντι τοῖς ἀθανάτοις
dwelling and saying to-the immortals

σειρὰν μεγίστην ἐξανάψειν τοῦ πόλου
a-chain greatest to-fasten-up from-the heaven

καὶ πάντας ἕλξειν χειρὶ πανσθενεστάτῃ;
and all to-drag with-hand most-almighty

CREILLUS ναὶ τῆτες ἠπείληκα τούτῳ μυρία.
yes this-year I-threatened him countless(-things)

καὶ γὰρ καθ' αὐτὸν ἱστορῶν μου τὸν βίον,
and for by myself considering my the life

ὅπως μένων ἔσωθεν οἰκτρῶς γωνίας
how remaining within pitifully of-a-corner

ὅλος σκοτεινός εἰμι καὶ ζόφου γέμων
wholly dark I-am and of-gloom full

καὶ δεῖμα δεινὸν ἐνδέδειγμαι καὶ τρέμω
and fear terrible I-have-shown and I-tremble

ζῷον πενιχρὸν ἔμπλεων ἀηδίας,
a-creature poor full of-disgust

ᾤμωζον ὠλόλυζον ἠθύμουν μέγα,
I-wailed I-howled I-despaired greatly

ἔκοπτον ἐσπάραττον οἰκείαν γένυν,
I-beat I-tore my-own jaw

καὶ τὸν θεῶν ὕπατον ὕβριζον Δία,
and the of-gods highest I-insulted Zeus

καὶ προστέθεικα τοῖς στεναγμοῖς σὺν χόλῳ
and I-added to-the groans with anger

δεινὰς ἀπειλὰς παντελῶς δειμαλέας.
terrible threats utterly fearful

TYROCLEPTES τί γοῦν ἐπηπείληκας; εἰπὲ καὶ τόδε.
what then did-you-threaten tell also this

CREILLUS ὡς εἴπερ οὐ θήσει με νικητὴν μέγαν
that if not he-will-make me victor great

καὶ παγκράτιστον τῇ μάχῃ στεφανίτην,
and all-powerful in-the battle crown-winner

ταχὺ προσελθὼν εἰς ναὸν τῶν θυμάτων
quickly having-gone into the-temple of-the sacrifices

ἅπαντα θήσω πρὸς τροφὴν τῆς κοιλίας.
all I-will-put to food of-the belly

TYROCLEPTES κἀγὼ συνέλθω σὺν συνεύνῳ καὶ τέκνοις.
and-I may-come-with(-you) with wife and children

ἀλλ᾽ ὡς ἔοικε τὸν μόθον καθιστόρει.
but as it-seems the battle recount

CREILLUS ναὶ δῆτα, καὶ σύμπαντας ἀρτίως μύας
yes indeed and all now mice

κεκληκέναι προὔμελλον εἰς ἐκκλησίαν.
to-have-called I-was-about into assembly

TYROCLEPTES οὐκοῦν ἐπεὶ δέδοκτο τῷ φυταλμίῳ
then since it-was-resolved by-the father

ἀπαλλαγῆναι τοῦ σκοτοκρύπτου βίου
to-be-rid of-the darkness-hidden life

ἐλευθερωθῆναί τε κατῶν τοῦ φόβου,
to-be-freed and of-cats from-the fear

τοὺς μῦς ἅπαντας ἀρτίως συγκλητέον.
the mice all now must-be-called-together

καὶ πρῶτον εἰς κάταρξιν ἰτέον λόγων
and first for beginning one-must-go of-words

ἐπιτρεπόντων προσφέρειν εὐτολμίαν.
urging to-bring daring
εἶτα στρατηγοὺς τῶν στρατῶν εἰργακότες
then generals of-the armies having-made
καὶ ταξιάρχας καὶ λοχαγούς, ὡς θέμις,
and taxiarchs and captains as right
λογχηφόρους τε καὶ κραταιοὺς ὁπλίτας
lance-bearers both and mighty hoplites
ἀντεξίωμεν εἰς μόθον τεταγμένοι.
let-us-march-against into battle drawn-up
CREILLUS καλῶς ἔφησας καὶ σοφῶς καὶ κοσμίως
well you-spoke and wisely and fittingly
(καὶ γὰρ τὸ γῆρας νουθετεῖ) καὶ σωφρόνως.
and for the old-age admonishes and soberly
κῆρυξ ἴτω δὲ καὶ καλείτω τοὺς μύας.
herald let-go and and let-call the mice
HERALD ἰδοὺ πάρεισι, μυαγέ, ξυνηγμένοι
behold they-are-here mouse-leader gathered
καὶ σῷ παρεστήκασι βουλευτηρίῳ.
and at-your have-stood council-chamber
CREILLUS ἐγὼ μέν, ὦ σύνταγμα γενναίων φίλων
I indeed O company of-noble friends
εὔεικτον εὐόμιλον, ἐκ πολλοῦ χρόνου
compliant sociable from a-long time
πολλὴν καταγνοὺς τῶν πάλαι πεφυκότων
much having-condemned of-the(-ones) of-old being-born
τὴν ἀσθένειαν καὶ κακίστην δειλίαν
the weakness and most-evil cowardice
ἀνθ' ὧνπερ εἴσω φωλεῶν μυχαιτάτων
because-of which within dens most-secret

μένοντες οὐκ εὔτολμον εἶχον καρδίαν
remaining not daring they-had heart
ἀλλ᾽ ὡς κλινήρεις καὶ μέλη παρειμένοι
but like bedridden(-ones) and in-limbs paralyzed
ἔπτησσον ἐλθεῖν εἰς μάχην ἐναντίων,
they-cowered to-go into battle of-opponents
ἤδη στρατεύειν ἱστορῶ θαρραλέως.
now to-campaign I-reckon boldly
οὐ γὰρ προσῆκόν μοι δέδοκτο καὶ φίλον
not for fitting to-me it-seemed and dear
σθένος φέροντι καὶ κρατοῦντι μυρίων,
strength bearing and ruling countless(-ones)
πομπὰς τελοῦντι καὶ κρότοις ᾐνημένῳ
processions holding and with-applause praised
τρέμειν προελθεῖν τῆς ἐμῆς μυωξίας.
to-tremble to-go-forth from-the my mouse-hole
ὑμεῖς δ᾽ ἑτοίμως τὸν λόγον δεδεγμένοι,
you and readily the word having-received
ὡς εὐγενῶν πέλοντες ἐκ φυτοσπόρων
as noble being from fathers
καὶ πανσθενῶς ἔχοντες αὐτῶν τοῦ τόνου,
and with-all-strength having their the vigor
μὴ νωχελεῖς γένησθε πρὸς τὰ πρακτέα,
not sluggish become for the(-things) to-be-done
μηδ᾽ ὀκλάσητε μηδαμῶς, ὦ γεννάδαι,
nor shrink-back by-no-means O noble-ones
ἀλλ᾽ ὡς ἐνὸν σύμπαντες, ὦ θεῖοι μύες,
but as possible all O divine mice
ἴτε προθύμως πρὸς νέαν στρατηγίαν,
go eagerly to new generalship

ζῆλον λαβόντες τῆς ἐμῆς ἐξουσίας.
zeal having-taken of-the my authority
ἐγὼ γὰρ οὐκ ὤκνησα πώποτ᾽ εἰς μόθον,
I for not shrank ever into battle
ἀλλ᾽ ὡς ἀληθῶς ἐκ νέας ἡλικίας
but as truly from young age
εἰς τὸ στρατηγεῖν ἀνδρικῶς ἐτραπόμην,
to the generalship manfully I-turned
πάσαις δὲ πάντη προσβολαῖς ἐπεκράτουν.
all and everywhere attacks I-overcame
γένος γὰρ ἐκφὺς εὐγενοῦς ἐξ ὀσφύος
in-race for sprung noble from loins
(ὡς ἴστε πάντες τοὺς πάλαι θρυλλουμένους
as you-know all the(-ones) of-old bandied-about
ἐπὶ δυνάμει καὶ φρενῶν γερουσίᾳ
for power and of-mind seniority
ἐμοὺς γονεῖς ἕλκοντας ἄπλετον κλέος·
my parents drawing boundless glory
τοὺς Χαρτοδάπτας ὠνομασμένους λέγω)
the Chartodaptai named I-mean
οὐκ ἠθέλησα ζῆν τὸν ἄπονον βίον,
not I-wished to-live the toilless life
ἀλλ᾽ εἰς μάθησιν τῶν στρατηγικωτάτων
but to learning of-the most-strategic(-things)
ἀπεῖδον εὐθὺς ἐκ νέου μειρακίου.
I-looked at-once from young boyhood
ἤσκησα κοντὸν καὶ σπάθην σὺν ἀσπίδι,
I-practiced pike and sword with shield
βαίνειν ἐφ᾽ ἵππους καὶ στρέφεσθαι ποικίλως,
to-mount on horses and to-wheel variously

βάλλειν τὸν ἐχθρὸν εὐστόχως καὶ καιρίως,
to-strike the enemy with-good-aim and mortally
τείνειν τὸ τόξον καὶ τὸν ἰὸν ἱέναι,
to-stretch the bow and the arrow to-send
καὶ πᾶσαν ἁπλῶς τῆς στρατηγίας τέχνην
and all simply of-the generalship art
μετῆλθον ὡς ἅπαντες οἱ στρατηλάται.
I-pursued as all the commanders
μόθων δὲ πολλῶν ἐγκρατὴς δεδειγμένος
of-battles and many master shown
καὶ πλεῖστα δοῦλα τῆς ἐμῆς ἐμπειρίας
and very-many slaves of-the my experience
ἔθνη δεδειχὼς ἦλθον εἰς μυαρχίαν,
nations having-shown I-came to the-mouse-command
πάντων ἄριστος καὶ μέγας κεκριμένος.
of-all best and great judged
καὶ νῦν δὲ παγκάκιστον ἔγνων τυγχάνειν
and now and most-evil I-knew it-to-be
τὸν ἀνθάμιλλον τοῦ Διὸς τοῦ τῆς Ῥέας
the rival — of-Zeus the(-son) — of-Rhea
ζῷον τρέμειν τι μικρὸν ἠθλιωμένον.
a-creature to-tremble-at a little wretched
τοίνυν κελεύω τοὺς ἐμοὶ πεφιλμένους
therefore I-bid the(-ones) by-me beloved
ἅπαντας εἰς σύνταξιν ἐλθεῖν τῆς μάχης
all into ordering to-come of-the battle
στερρῶς κραταιῶς εὐσθενῶς εὐκαρδίως
firmly mightily strongly stout-heartedly
σοφῶς ἐνεργῶς εὐφυῶς ὡπλισμένους.
wisely energetically cleverly armed

τὰ νῦν δὲ λοιπὸν ἴτε πρὸς τὰς οἰκίας.
the(-things) now and for-the-rest go to the houses
τὴν αὔριον δ' ἕωθεν, ὦ στρατηλάται,
the tomorrow and at-dawn O commanders
πάντας κινῆσαι βούλομαι θαρραλέως·
all to-set-moving I-wish boldly
δοκεῖ γὰρ οὕτω συμφέρειν πρὸς τὸ πράγος.
it-seems for so to-help toward the business
TYROCLEPTES ἐπείπερ ἤδη πάντες εἰς τὰς οἰκίας
since already all to the houses
ἀπῆλθον ὥρᾳ τοῦ καθευδῆσαι κλίνῃ,
went-away at-the-hour of-the to-sleep in-bed
ἄπειμι κἀγὼ πρὸς κλίνην τὴν ἰδίαν.
I-go-away I-too to bed the own
CREILLUS εἴρηκας ὀρθῶς· τοιγαροῦν πορευτέον.
you-have-spoken rightly therefore one-must-go
CHORUS ὦ ποῖον ἄλγος νῦν κρατεῖ με καὶ θλίβει.
oh what pain now masters me and crushes
ὦ Ζεῦ, τί τοῦτο; τῆς παρούσης ἡμέρας.
O Zeus what this of-the present day
δεινὸς λογισμὸς ἔσχε μου τὸν δεσπότην
a-terrible reckoning has-seized my the master
κάτῃ προσάψαι μῶλον οὐ λαθριδίως.
on-the-cat to-fasten battle not secretly
δοκῶ γὰρ αὐτὸν σὺν πάσῃ στρατηγίᾳ
I-think for him with all the-army
θανεῖν, λιπόντα τὸν φαεσφόρον λύχνον.
to-die having-left the light-bringing lamp
Ἄπολλον, ἁγνόμαντι, Φοῖβε Λοξία,
Apollo holy-seer Phoebus Loxias

τί τοῦτο τοῦτο; φεῦ παπαῖ φεῦ μοι πάλιν.
what this this alas papai alas for-me again

ἰαττατταιάξ, ὦ πόνων ἰαλέμων.
iattataiax O of-toils of-dirges

αἰ αἰ ἰοὺ ἰοὺ κακῶν πονημάτων.
ai ai iou iou of-evil labors

HALF-CHORUS ἴσως κροτήσει τὴν μάχην κατὰ κράτος.
perhaps he-will-win the battle by force

HALF-CHORUS ἄπιστ' ἄπιστα καινὰ καινά μοι λέγεις.
incredible incredible new new to-me you-say

τὸ τοῦ Διὸς θέλημα νῦν ὑπαρξάτω.
the — of-Zeus will now let-it-be

TYROCLEPTES ὁρῶ θέουσαν ἐξ ὑέλλων ἡμέραν.
I-see running from the-rains the-day

CREILLUS καὶ μὴν κἀγὼ δέδορκα τὴν λαμπηδόνα.
and indeed I-too have-seen the brightness

TYROCLEPTES καὶ τοιγαροῦν λίπωμεν ὕπνον καὶ κλίνην,
and therefore let-us-leave sleep and bed

ὄις δὲ καὶ βοῦς τοῖς θεοῖς τεθυκότες
sheep and and oxen to-the gods having-sacrificed

πρὸς τὸν μαχησμὸν ἐξίωμεν ἀτρόμως·
to the battle let-us-go-out fearlessly

δεῖ γὰρ πρὸ πάντων ἱλεοῦν τοὺς ἐν πόλῳ.
it-is-needful for before all to-propitiate the(-ones) in heaven

CREILLUS ἰδοὺ θύσαντες ἐκκαλοῦμεν τὸν Δία
behold having-sacrificed we-invoke — Zeus

καὶ τὴν Ἀθηνᾶν καὶ τὸν Ἑρμῆν καὶ Πάνα
and — Athena and — Hermes and Pan

καὶ τὸν Ποσειδῶ καὶ τὸν ἁγνὸν Λοξίαν,
and — Poseidon and the holy Loxias

Ἥραν σὺν αὐτοῖς Ἄρτεμίν τ' ὀρειβάτιν,
Hera with them Artemis and mountain-ranging
Πλούτωνα Λητώ, σὺν Ἄιδῃ Περσεφόνην
Pluto Leto with Hades Persephone
καὶ πάντας ἄλλους, καὶ πτεροῦμεν τὸν πόδα.
and all others and we-wing the foot
CHORUS ὦ πάντες ὦ σύμπαντες ὦ θεοὶ μόνοι,
O all O all-together O gods alone
ὅσοι γ' ἄνωθεν καὶ κάτω κληρουχίαν
as-many-as — above and below an-allotted-portion
ἔχοντές ἐστε, τῶν καλῶν χορηγέται,
having are of-the good(-things) providers
πρόστητε ναὶ πρόστητε καρτερωτάτως
stand-by yes stand-by most-mightily
τῶν δεσποτῶν μου τῶν νέαν στρατηγίαν
of-the masters my the(-ones) new generalship
κατῶν τελούντων πρὸς τὸ πάμφαγον γένος.
against-cats holding against the all-devouring race

II · THE MESSENGERS

Creillus' wife prays. A messenger reports the cat devoured her son Psicharpax; a second, that a rotten beam fell on the cat, and she dances for joy.

CREILLUS' WIFE ὡς εἴθε νικήσειαν, ὦ Ζεῦ, τῷ μόθῳ
oh would-that may-they-win O Zeus in-the battle
οὐμοὶ στρατηγοὶ καὶ σύνευνος καὶ τέκνον.
my generals and husband and child
CHORUS καλὸν τὸ νικᾶν, ἀλλὰ δειλία μ' ἔχει.
fine the to-win but cowardice me holds

CREILLUS' WIFE κἀγὼ δέδοικα καὶ τρέμω κατὰ κράτος.
I-too fear and tremble with might

CHORUS δεινὸν γάρ ἐστι δυσμενῶν εὐανδρία.
terrible for is of-enemies valor

CREILLUS' WIFE ὦ Ζεῦ βασιλεῦ, χρηστὸν ἔργασαι μόθον.
O Zeus king good make battle

CHORUS ἀεὶ τὸ θεῖον τῶν καλῶν ἅπαν νέμει.
always the divine of-the fine(-things) all dispenses

CREILLUS' WIFE εἰ μὲν κρατήσει τῶν μυῶν αἱ πληθύες
if indeed will-prevail of-the mice the multitudes
ἐξισχύσουσι τῆς ἐναντιουμένης,
will-overpower the opposing(-one)
εὖ ἂν τὸ λοιπὸν ἀνύσαιμεν τοῦ βίου
well — the rest we-would-accomplish of-the life
καὶ τὸν φόβον ῥίψαιμεν ὡς πορρωτάτω.
and the fear would-throw as farthest

CHORUS ναὶ δὴ γένοιτο τοῦτο, σὺν θεῷ λέγω.
yes indeed may-it-be this with god I-say

CREILLUS' WIFE εἰ δ' ἥττονες γένοιντο τῆς ἐναντίας
if but weaker they-should-become than-the opposing(-one)
καὶ πρὸς φυγὴν ῥέψωσιν ὡς τετραμμένοι,
and to flight should-incline as routed
ἅπαντα φροῦδα προσγενήσεται τάχα.
all gone will-come-to-pass quickly

CHORUS ὡς εἴθε μὴ γένοιτο μηδ' ἔσοιτό μοι.
oh would-that not may-it-be nor may-it-be for-me

CREILLUS' WIFE καὶ πᾶς γένηται δοῦλος αἰχμαλωσίᾳ.
and each may-become a-slave in-captivity

CHORUS οὔκ, ἀλλὰ δεινὸν βρῶμα τῆς ἐναντίας.
no but a-terrible food of-the opposing(-one)

CREILLUS' WIFE κἀγὼ δὲ δούλη παισὶ σὺν τοῖς φιλτάτοις
I-too and a-slave children with the dearest
ἡ πρὶν κυρία προσφανήσομαι τάχα.
the former lady will-appear quickly
CHORUS ἥκιστα δούλη σὺ γενήσῃ σὺν τέκνοις,
least-of-all a-slave you will-become with children
ἀλλ' ὡς ἀληθῶς βρῶμα τῆς ἀδηφάγου.
but as truly food of-the glutton
CREILLUS' WIFE τί γοῦν; προλίπω τὸ γλυκύτατον φάος
what then shall-I-leave the sweetest light
καὶ συγκαλυφθῶ τῇ κόνει καὶ τῷ τάφῳ;
and be-covered with-the dust and the tomb
CHORUS σίγα σίγα, δέσποινα, δεινόν τι βλέπω.
hush hush mistress terrible something I-see
καὶ μὴν ὁρῶ θέοντά τιν' ἐσπευσμένον
and indeed I-see running someone hurrying
καὶ πυκνὸν ἀσθμαίνοντα καὶ πεπληγμένον.
and thickly panting and stricken
MESSENGER κυρία ποῦ πάρεστί τις δηλωσάτω.
the-lady where is-she someone let-declare
CHORUS ἔξεστί σοι θέλοντι ταύτην εἰσβλέπειν.
it-is-possible for-you wishing her to-look-at
MESSENGER τάλαινα παντάλαινα καὶ τρισαθλία,
wretched all-wretched and thrice-miserable
πέπτωκε τρωθεὶς ὁ Ψιχάρπαξ ἐν βέλει.
has-fallen wounded — Psicharpax by a-missile
CREILLUS' WIFE ὦ τοῦ ποθεινοῦ καὶ πεφιλμένου τέκνου.
oh the longed-for and beloved child
πέπτωκεν ἡμὴ τοῦ γήρως βακτηρία.
has-fallen my of-the old-age staff

ὦ τῶν πόνων, ὦ τῶν πόνων ἰαλέμων.
oh the toils oh the toils of-dirges

παπαῖ, τὰ πάντα δεινὰ τῶν ἀγγελμάτων.
papai the all terrible(-things) of-the tidings

ἰοὺ θανοῦμαι. τίς γένωμαι; ποῦ φύγω;
iou I-shall-die what am-I-to-become where shall-I-flee

πᾷ βῶ; παρεῖμαι τῶν μελῶν εὐρωστίας.
where shall-I-go I-am-loosened of-the limbs from-strength

ὦ παῖ παπαῖ παῖ, φιλτάτη θεωρία.
O child papai child dearest sight

CHORUS τέτλαθί μοι τέτλαθι, παῦσαι τῶν γόων.
endure for-me endure cease the laments

CREILLUS' WIFE ὦ παῖ παναώριε λίαν, ὦ πέπον.
O child untimely too O tender-one

CHORUS αἰ αἰ τάλαινα μῆτερ ἠθλιωμένη,
ai ai wretched mother afflicted

ἐπίσχες ἄρτι τοὺς ἀπειρίτους στόνους.
hold-back now the boundless groans

CREILLUS' WIFE ἄπιστ' ἄπιστα δεινὰ δεινά μοι λέγεις.
incredible incredible terrible terrible to-me you-say

CHORUS κατάσχε μικρὸν τοὺς ἀπειρίτους γόους.
restrain a-little the boundless laments

CREILLUS' WIFE ὦ φιλτάτη πρόσοψις, ὦ παῖ μοι φίλε.
O dearest face O child to-me dear

CHORUS φέρειν πρέπον σε τὴν ἄπειρον ἀνίαν,
to-bear fitting(-it-is) you the boundless grief

μαθεῖν δὲ λοιπὸν τἀπίλοιπα τοῦ μόθου.
to-learn and for-the-rest the-remainder of-the battle

CREILLUS' WIFE ἀλλ' οὐ σθένω σχεῖν τοῦ πόνου τὴν πικρίαν.
but not I-am-strong to-hold of-the toil the bitterness

CHORUS τίς γοῦν ὄνησις ἐκ γόων ἀμετρίας;
what then profit from laments' excess

CREILLUS' WIFE αὐτὴν διαχρήσαιμι καὶ τάχει θάνω. 265
myself may-I-destroy and quickly die

CHORUS μὴ δῆτα τοῦτο, μηδὲ σὺ στένειν θέλε.
not indeed this nor you to-groan wish

CREILLUS' WIFE καὶ πῶς ἀνεκτὸν μὴ πεφύρθαι καὶ στένειν;
and how bearable not to-be-confounded and to-groan

CHORUS τί δὲ στένουσα τοὺς λογισμοὺς κουφίζεις;
why and groaning the reckonings do-you-lighten

οὐδεὶς θανόντας ἐξεγείρει τοῦ τάφου.
no-one the-dead raises from-the tomb

CREILLUS' WIFE παυθεῖσα τί πράξαιμι τῶν στεναγμάτων; 270
having-ceased what should-I-do of-the groans

CHORUS μαθεῖν θέλησον τἀπίλοιπα τοῦ μόθου.
to-learn wish the-remainder of-the battle

CREILLUS' WIFE καὶ τίς κατείπῃ ταῦτα καὶ σαφηνίσει;
and who will-tell these-things and will-make-clear

CHORUS ὁ τῶν παρόντων ἄγγελος ἀγγελμάτων.
the of-the present messenger tidings

CREILLUS' WIFE καὶ ποῦ πάρεστιν;
and where is-he-present

CHORUS εἰσορᾶν ἔξεστί σοι.
to-look-at it-is-possible for-you

CREILLUS' WIFE ἐκ τοῦ πάθους ὄλωλα καὶ συνετρίβην, 275
from the suffering I-have-perished and been-crushed

καὶ τὰς κόρας ἤμβλυνα τὰς τῶν ὀμμάτων.
and the pupils I-have-dimmed the(-ones) of-the eyes

CHORUS ἅπαν διευκρίνησον, ἀγγεληφόρε,
all make-clear bearer-of-tidings

ὅπως μὲν ἔστι τῆς μάχης ἡ τραχύτης,
how indeed is of-the battle the roughness
καὶ πῶς ὁ παῖς πέπτωκε καὶ παρερρύη.
and how the child has-fallen and slipped-away
MESSENGER εἴπω καθεξῆς ἢ τέμω τὰς ἐμφάσεις;
shall-I-tell in-order or cut the details
CHORUS ἑξῆς ἅπαν ἔξειπε συμβὰν τῇ μάχῃ,
in-order all tell-out having-happened in-the battle
αὐτῆς ἀπ᾽ ἀρχῆς τὸν λόγον διεννέπων.
the-very from beginning the account relating
MESSENGER εἴπω τὰ πάντα· τοιγαροῦν ἀκουστέον.
I-shall-tell the all therefore one-must-listen
ἐπεὶ γὰρ εἰς σύμμιξιν ἦλθον τῆς μάχης,
when for into clash they-came of-the battle
πρῶτον μὲν ὁ κράτιστος ἐθνοσατράπης,
first indeed the mightiest nation-satrap
ὁ Ψιχολείχης, συμβαλὼν τῇ παμφάγῳ
— *Psicholeiches having-engaged with-the all-devourer*
ἥττητο καὶ πέπτωκεν, οἰκτρά τις θέα,
was-defeated and fell piteous a sight
καὶ πᾶσα τούτου στρατιὰ διεφθάρη.
and all his army was-destroyed
ἔπειτ᾽ ἐπῆλθεν ἄλλος ἀρχισατράπης,
then attacked another chief-satrap
ὃς πᾶσιν ὠνόμαστο Κολλικοκλόπος,
who by-all had-been-named Collicoclopos
καὶ ταὐτὸν αὐτῷ πτῶμα πέπτωκε ξένον,
and the-same to-him fall he-fell strange
οὐδ᾽ ὑπομείνας προσβολὴν βραχυτάτην.
not-even having-endured attack shortest

ὡς γοῦν ἑώρα τοὺς κραταιοὺς σατράπας
when then saw the mighty satraps
ἤδη πεσόντας ὁ Ψιχάρπαξ καὶ βόσιν
already fallen — Psicharpax and food
οἰκτρὰν φανέντας σὺν στρατῷ τῇ παμφάγῳ,
piteous having-appeared with army for-the all-devourer
ὀργῆς ἐπλήσθη καὶ χόλου βαρυτάτου
with-wrath he-was-filled and with-anger heaviest
(θυμοῦ γὰρ οὐδέν ἐστιν ἄλλο πικρία,
of-spirit for nothing is other bitterness
εἰ μὴ ζέσις τις αἵματος πρὸς καρδίαν),
if not boiling some of-blood toward heart
λαβὼν δὲ κοντὸν χερσὶν ἐστομωμένον
having-taken and a-pike in-hands sharpened
ἐπῆλθεν αὐτῇ τοῦ τεθανατωκέναι.
he-went-at her for-the having-killed
ἣ δ' εἰσιδοῦσα τοῦτον ἡτοιμασμένον
she and having-seen him prepared
ἐκ τοῦ σύνεγγυς πρὸς σφαγὴν ἑστηκότα
from the near(-place) for slaughter standing
καὶ κοντὸν ἐκτείνοντα καρτερωτάτως,
and a-pike stretching-out most-mightily
ὥρμησεν αὐτὸν συλλαβεῖν παραυτίκα,
rushed him to-seize at-once
καὶ δὴ κατέσχε τοῖς ὄνυξιν ἀγρίως,
and indeed held(-him) with-the claws savagely
καὶ σὺν τάχει βέβρωκε τὸν νεανίαν.
and with speed ate the young-man
CHORUS καὶ ταῦτ' ἐν ὄψει τοῦ φίλου φυτοσπόρου;
and these-things in sight of-the dear father

CREILLUS' WIFE τὸ μεῖζον αὐτὸ τυγχάνει μοι τοῦ πάθους.
the greater itself is to-me of-the suffering

MESSENGER ἐγὼ δ' ἐπεὶ δέδορκα τοῦτο τὸ πράγος,
I and when I-have-seen this the business

310 προσῆλθον ὦ πότνιά σοι πεφρακέναι.
I-came O lady to-you to-tell

CHORUS ὡς εἴθε μηδ' ἐπῆλθες, ἀγγεληφόρε.
oh would-that not-even you-had-come bearer-of-tidings

CREILLUS' WIFE μέγιστον ἦν μοι μηδ' ὅλως προσιέναι·
greatest it-was to-me not-even at-all to-approach

οὐκ ἂν γὰρ ἀκμὴν τῷ πάθει συνεσχέθην.
not — for still in-the suffering would-I-have-been-held

MESSENGER ἐγὼ μὲν οὖν ἄπειμι τὴν ὀπισθίαν.
I indeed then go-away the back(-way)

315 CHORUS ἔλθοις κακῶν ἥκιστα μηνυτὴς πάλιν.
may-you-come of-evils least-of-all an-informer again

CREILLUS' WIFE κακὸς κακῶς ὄλοιτο νῦν ὁ πυρφόρος.
bad-one badly may-perish now the fire-bearer

CHORUS δέδοικεν ἡμᾶς δυσφορούσας τῷ λόγῳ.
he-fears us grieving at-the word

CREILLUS' WIFE ὦ ποῖον ἄνθος τῶν μυῶν ἀπεκρύβη.
oh what flower of-the mice has-been-bidden

CHORUS ἐμοὶ δοκεῖ κάλλιστον εἶναι καὶ πρέπον
to-me it-seems finest to-be and fitting

320 σύνθρηνον ᾆσαι παιδὶ τῷ πεπτωκότι.
a-joint-dirge to-sing for-child the fallen

CREILLUS' WIFE καλῶς ἔφησας· τοιγαροῦν θρηνητέον.
well you-spoke therefore one-must-lament

CHORUS πρώτιστα σὺ κρότησον ἀρχὴν τοῦ πάθους.
first you strike-up the-beginning of-the suffering

CREILLUS' WIFE ἃ ἃ παπαῖ, παῖ παῖ, παπαῖ παῖ πολλάκις.
ah ah papai child child papai child many-times

CHORUS παῖ παῖ Κρεῖλλε, παῖ παπαῖ παῖ δέσποτα.
child child Creillus child papai child master

CREILLUS' WIFE ἃ ἄ πόθι, παῖ, ποῦ ποτ' ἀπέβης, τέκνον; 325
ah ah where child where ever did-you-go child

CHORUS ποῖ ποῖ καλυφθεὶς ἐξαπέπτης τοῦ βίου;
where where covered did-you-fly-away from-the life

CREILLUS' WIFE ὦ ὦ πόθι, παῖ, τῶν πόνων ἰαλέμων.
oh oh where child the toils of-dirges

CHORUS ἰαλέμων, ὦ καὶ πάλιν ἰαλέμων.
of-dirges oh and again of-dirges

CREILLUS' WIFE ἃ ἃ λέλοιπας τὸν λύχνον τῆς ἡμέρας.
ah ah you-have-left the lamp of-the day

CHORUS ἅπανθ' ἅπαντα τοῦ βίου τέφρα κόνις, 330
all all of-the life ash dust

ἁπαξάπαντα τοῦ βίου σκιὰ μόνον.
all-together of-the life shadow only

CREILLUS' WIFE οἳ οἳ, παρῆλθες, ὦ Ψιχάρπαξ, ὦ τέκνον.
oi oi you-have-passed O Psicharpax O child

CHORUS ἀρκεῖ. τὸ λοιπὸν βαῖνε μὴ περαιτέρω·
enough the rest go not further

ἤδη βλέπω γὰρ ἄγγελον ταχυδρόμον.
already I-see for a-messenger swift-running

CREILLUS' WIFE δέδοικα μὴ πάλιν τι δεινόν μοι φράσῃ. 335
I-fear lest again something terrible to-me he-may-tell

CHORUS οὔκ, ὦ σεβαστή.
no O revered(-one)

CREILLUS' WIFE πῶς ἄρ' οἶδας, πῶς ἄρα;
how then do-you-know how then

CHORUS φαιδρῷ προσώπῳ τὸν δρόμον διατρέχει.
with-bright face the course he-runs

CREILLUS' WIFE ὡς εἴθε χρηστὸν ἄγγελον Ζεῦ μοι πρόες.
oh would-that a-good messenger Zeus to-me send-forth

MESSENGER ἡ δεσπότις πέφυκε ποῦ τις εἰπάτω.
the mistress is where someone let-tell

CHORUS ἰδοὺ πάρεστι, καὶ θέλεις εἴπερ βλέπε.
behold she-is-here and you-wish if look

MESSENGER πάγχρυσε, φαιδρὰ μὴ τεθλιμμένη γίνου,
all-golden bright not afflicted be

καὐμοὶ βράβευε δῶρα τῶν ἀγγελμάτων.
and-to-me award gifts of-the tidings

CREILLUS' WIFE ἔξειπε, μὴ χλεύαζε κομπορρημόνως.
tell-out not mock boastfully

MESSENGER ἤν μοι νέμῃς πρώτιστα δῶρα τοῦ λόγου.
if to-me you-assign first gifts of-the word

CREILLUS' WIFE εἰπόντι δώσω καὶ παράσχω συντόμως.
to-you-having-spoken I-will-give and provide promptly

MESSENGER τέθνηκεν ἡ τάλαινα κάτα τῷ μόθῳ.
has-died the wretched cat in-the battle

CHORUS ἆ ἆ κροτήσω καὶ χαρήσομαι πλέον·
ah ah I-will-clap and will-rejoice more

νικησάτω γὰρ ἡ χαρὰ τὴν ἀνίαν.
let-win for the joy the grief

CREILLUS' WIFE ὑφ' ἡδονῆς μέγιστον ὀρχοῦμαι πάνυ.
from pleasure greatly I-dance utterly

CHORUS τὰ τοῦ μόθου πρῶτόν σε μαθεῖν νῦν δέον,
the(-things) of-the battle first you to-learn now needful(-it-is)

καὶ πῶς τέθνηκε δυσμενὴς ἡ παμφάγος.
and how has-died hostile the all-devourer

CREILLUS' WIFE ἐξειπάτω δὴ πᾶσαν ἀγγεληφόρος
let-tell-out indeed all the-bearer-of-tidings
τὴν συγκρότησιν τῆς μάχης καὶ τὸν μόρον
the clash of-the battle and the doom
τῆς ἀγριωποῦ καὶ κακῆς μυοκτόνου.
of-the savage-faced and evil mouse-killer
CHORUS ἡ δεσπότις λέλακε· τὴν γλῶτταν κρότει.
the mistress has-spoken the tongue strike
MESSENGER ἰδοὺ τὸν εἱρμὸν εὐτρεπίζω τοῦ λόγου.
behold the sequence I-make-ready of-the account
ὑμεῖς δ' ἑτοίμως ὠσὶν οὖσιν ὀρθίοις
you and readily with-ears being upright
ἐνωτίσασθε τῶν ἐφηρμηνευμένων.
give-ear to-the(-things) interpreted
ὡς γοῦν ὁ δεινὸς σωματοφθόρος μόθος
when then the terrible body-destroying battle
ἔσχηκεν ἀρχὴν προσβολῆς εὐκοσμίᾳ
had beginning of-attack in-good-order
καὶ πρῶτα μὲν πέπτωκεν ἐθνοσατράπης
and first indeed fell the-nation-satrap
ὁ Ψιχολείχης, εἶθ' ὁ Κολλικοκλόπος,
— Psicholeiches then — Collicoclopos
ἔπειθ' ὁ πάις τοῦ καλοῦ μου δεσπότου,
then the child of-the good my master
ἤλγησεν οὕτος τῷ πάθει τὴν καρδίαν,
was-pained he in-the suffering the heart
ἰδὼν τὸν υἱὸν τὸν φίλον τεθνηκότα.
having-seen the son the dear dead
καὶ τὴν ὑπ' αὐτὸν στρατιὰν παροτρύνας
and the under him army having-urged-on

ἐπῆλθεν ἀπτὼς τῇ φθόρῳ καὶ παμφάγῳ,
he-attacked unfalteringly the destroyer and all-devourer
καὶ πρὸς ἅμιλλαν ἀτρόμως συνεπλάκη.
and to contest fearlessly engaged
πλεῖστον δὲ καιρὸν ἀνθυπηγωνισμένων
very-long and time contending-against(-each-other)
καὶ μηδενὸς φεύγοντος ἀλλ᾽ ἑστηκότος,
and no-one fleeing but standing
ξύλον κατελθὸν τῆς ὑπερτάτης στέγης
a-beam having-come-down from-the topmost roof
ἔτει παλαιὸν καὶ χρόνῳ τεθραυσμένον
in-years old and by-time broken
ἔπληξεν αὐτὴν ἐν μέσῳ μεταφρένῳ,
struck her in middle back
καὶ νεῦρα συντέθλακεν αὐτῆς αὐτίκα,
and the-sinews crushed her at-once
καὶ πρὸς βάθη πέπτωκεν Ἀιδωνέως.
and to the-depths she-fell of-Aidoneus
καὶ τὴν πρὶν ἡμῖν δυσμενῆ κατὰ κράτος
and the formerly to-us hostile with force
ἄσπονδον ἀμείλικτον ἠγριωμένην
truceless implacable made-savage
ἔδειξεν ἄπνουν ἐκτάδην ἡπλωμένην.
showed breathless stretched-out laid-out
CHORUS ζῴης ἀλύπως εὐθαλῶς εὐκαρδίως
may-you-live without-grief flourishingly stout-heartedly
εἰς λυκάβαντας μήποτε πληρουμένους
for years never filled
ἀνθ᾽ ὧνπερ ἦλθες ἄγγελος ποθουμένων
because-of which you-came messenger of-longed-for(-things)

καὶ τὸν φόνον προὔφηνας ἡμῖν τῆς φθόρου.
and the murder you-announced to-us of-the destroyer
ἤδη γὰρ εἶδον πᾶν ποθούμενον τέλος
already for I-have-seen all longed-for end
εἰληφὸς ἄρτι καὶ καλῶς ἠνυσμένον.
having-taken now and well accomplished
